PLATONIS

ET QUÆ

VEL PLATONIS ESSE FERUNTUR

VEL PLATONICA SOLENT COMITARI

SCRIPTA GRÆCE OMNIA

AD CODICES MANUSCRIPTOS

RECENSUIT

VARIASQUE INDE LECTIONES

DILIGENTER ENOTAVIT

IMMANUEL BEKKER.

ANNOTATIONIBUS INTEGRIS

STEPHANI, HEINDORFII, HEUSDII, WYTTENBACHII, LINDAVII, BOECKHIIQUE

ADJICIUNTUR MODO NON INTEGRÆ

SERRANI, CORNARII, THOMPSONI, FISCHERI, GOTTLEBERI, ASTII, BUTMANNI, ET STALBAUMI,

NECNON EX COMMENTARIIS ALIORUM

CURIOSE EXCERPTA.

VOL. VI.

LONDINI:

EXCUDEBAT A. J. VALPY, A. M.

SUMPTIBUS RICARDI PRIESTLEY.

MDCCCXXVI.

IN HOC VOLUMINE CONTINENTUR

	PAG.
ΘΕΑΓΗΣ	1
ΕΡΑΣΤΑΙ	21
ΑΛΚΙΒΙΑΔΗΣ ΠΡΩΤΟΣ	41
ΜΕΝΕΞΕΝΟΣ	137
ΙΠΠΙΑΣ ΜΕΙΖΩΝ	183
ΚΛΕΙΤΟΦΩΝ	241
ΠΟΛΙΤΕΙΑ, Α	251
Β	328
Γ	391
Δ	453
Ε	504

Θ Ε Α Γ Η Σ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΔΗΜΟΔΟΚΟΣ, ΣΩΚΡΑΤΗΣ, ΘΕΑΓΗΣ.

ARGUMENTUM.

Demodocus quidam quum a filio Theage sollicitaretur, ut se traderet sapienti cuidam, sapientiæ discendæ causa, adit Socratem: a quo consilium capit hac de re, adducto etiam coram filio. Præfatur Socrates, rem esse illam maximi momenti, ut juventus nimirum, quæ est seminarium reipublicæ, recte excolatur: sapientiam autem ipsam esse præclaram scientiam, omniumque scientiarum primariam ac principem. Illam porro hac in re maxime versari, ut contineatur societas generis humani rationibus et institutis justi et moderati cujusdam imperii: atque adeo evitentur intemperies, quæ certæ sunt hominum pestes. Jam vero illam quidem civilem sapientiam disci sapientum hominum usu et consuetudine: veram tamen efficacemque illius consequendæ rationem pendere a Deo, qui unus nimirum efficiat, ut illa etiam hominum prudentum consuetudo possit esse fructuosa.

Θ Ε Α Γ Η Σ.*

§. 1. Ὦ Σώκρατες, ἐδεόμην ἄττα σοι ἰδιολογήσασθαι, εἰ σχολή.[a] κἂν ᾖ[b] ἀσχολία δὲ μὴ πάνυ[c] τις μεγάλη,[d] ὅμως ἐμοῦ ἕνεκεν[e] ποίησαι[f] σχολήν. Steph. I. 121. Bek. II. iii. 259.

ΣΩ. Ἀλλὰ καὶ ἄλλως τυγχάνω σχολάζων, καὶ δὴ σοῦ γε ἕνεκα καὶ πάνυ. ἀλλ' εἴ τι βούλει λέγειν, ἔξεστιν.

ΔΗ. Βούλει οὖν δεῦρο εἰς τὴν τοῦ Διὸς τοῦ[g] ἐλευθερίου στοὰν ἐκποδὼν[h] ἀποχωρήσωμεν;[i]

ΣΩ. Εἴ σοι δοκεῖ.

ΔΗ. Ἴωμεν δή, ὦ Σώκρατες. Πάντα τὰ φυτὰ κινδυνεύει τὸν αὐτὸν τρόπον ἔχειν, καὶ τὰ ἐκ τῆς γῆς φυόμενα καὶ τὰ ζῶα, τά τε ἄλλα καὶ ἄνθρωπος. καὶ γὰρ ἐν τοῖς φυτοῖς ῥᾷστον ἡμῖν τοῦτο γίγνεται, ὅσοι τὴν γῆν γεωργοῦμεν, τὸ παρασκευάσασθαι πάντα τὰ[k] πρὸ τοῦ φυτεύειν καὶ

CODICES TREDECIM,
𝔄 Γ Θ Ξ Σ B C E F *u y e* 𝔯.

[a] εἰ σοι σχολὴ pr 𝔯.—[b] εἰ 𝔄ΓΞΣBC*uye*𝔯 : ἡ F.—[c] δὲ μὴ πάνυ om F.—[d] οὐ μεγάλη γρ F.—[e] ἕνεκα Eϛ.—[f] ποιῆσαι ϱ.—[g] τοῦ post Διὸς om ϱ.—[h] ἐκποδῶν 𝔄ΘBC et pr F.—[i] ἀποχωρίσωμεν F, ἀποχωρήσομεν 𝔯.—[k] τὰ om F.—[l] καὶ δύσκολος καὶ

ΔΗΜΟΔ.] Præced. edd. habent [inter Personas Dialogi] Δημόδικος: sed tamen in uno tantum (si bene memini) ipsius dialogi loco lectionem illam habent, in cæteris alteram. STEPH.

* Inscriptio hujus Dialogi Θεάγης, ἢ περὶ Σοφίας, μαιευτικὸς, in libros Platonis translata est a Grammaticis e Diogene Laert. iii. 59. BIP.

Dialogum hunc non a Platone scriptum, sed ei suppositum esse, censuerunt tum alii tum Schleiermach. (vers. Opp. Plat. ii. iii. 247.) quod plurima ex aliis dialogis petita, multa non Platonico modo dicta et disputata, nonnulla inania neque bene nexa sint. BECK.

αὐτὸ τὸ φυτεῦσαι· ἐπειδὰν δὲ τὸ φυτευθὲν βιῷ, μετὰ τοῦ-
II. iii. 260. το θεραπεία τοῦ φύντος καὶ πολλὴ καὶ χαλεπὴ καὶ δύσ-
κολος[l] γίγνεται. οὕτω δὲ ἔχειν ἔοικε καὶ τὸ περὶ τῶν ἀν-
θρώπων· ἀπὸ τῶν ἐμαυτοῦ ἐγὼ πραγμάτων τεκμαίρομαι
καὶ ἐς[m] τἄλλα. καὶ γὰρ ἐμοὶ ἡ τοῦ υἱέος τουτουί, εἴτε[n]
φυτείαν εἴτε[o] παιδοποιίαν δεῖ αὐτὴν ὀνομάζειν, πάντων
ῥᾴστη γέγονεν, ἡ[p] δὲ τροφὴ δύσκολός τε καὶ ἀεὶ ἐν φόβῳ
περὶ αὐτοῦ δεδιότι.[q] τὰ μὲν οὖν[r] ἄλλα πολλὰ ἂν εἴη λέ-
γειν, ἡ δὲ νῦν παροῦσα ἐπιθυμία τούτῳ πάνυ με φοβεῖ· ἔσ-
τι μὲν γὰρ[s] οὐκ ἀγεννής,[t] σφαλερὰ δέ.[u] ἐπιθυμεῖ γὰρ δὴ
οὗτος ἡμῖν, ὦ Σώκρατες, ὥς φησι, σοφὸς γενέσθαι. δοκῶ
γάρ μοι, τῶν ἡλικιωτῶν τινὲς αὐτοῦ καὶ δημοτῶν εἰς τὸ
ἄστυ καταβαίνοντες, λόγους τινὰς ἀπομνημονεύοντες δια-
ταράττουσιν αὐτόν· οὓς ἐζήλωκε καὶ πάλαι μοι πράγ-
ματα παρέχει, ἀξιῶν ἐπιμεληθῆναί με ἑαυτοῦ[v] καὶ χρή-
ματα τελέσαι τινὶ τῶν σοφιστῶν, ὅς τις αὐτὸν[w] σοφὸν ποιή-
σει. ἐμοὶ δὲ τῶν μὲν χρημάτων καὶ ἔλαττον μέλει, ἡγοῦ-
I. 122. μαι δὲ τοῦτον[x] οὐκ εἰς σμικρὸν[y] κίνδυνον ἰέναι οἷ σπεύδει.
τέως μὲν οὖν[z] αὐτὸν κατεῖχον παραμυθούμενος· ἐπειδὴ δὲ
οὐκέτι οἷός τέ εἰμι, ἡγοῦμαι κράτιστον εἶναι πείθεσθαι αὐ-
τῷ, ἵνα μὴ πολλάκις ἄνευ ἐμοῦ συγγενόμενός τῳ διαφθα-
II. iii. 261. ρῇ. νῦν οὖν ἥκω ἐπ' αὐτὰ ταῦτα, ἵνα τῳ τούτων τῶν σοφι-
στῶν δοκούντων εἶναι συστήσω τουτονί. σὺ οὖν ἡμῖν εἰς κα-
λὸν παρεφάνης, ᾧ ἂν ἐγὼ μάλιστ'[a] ἐβουλόμην περὶ τῶν
τοιούτων μέλλων πράξειν συμβουλεύσασθαι. ἀλλ' εἴ τι
ἔχεις συμβουλεύειν ἐξ ὧν ἐμοῦ[b] ἀκήκοας, ἔξεστί τε καὶ χρή.

χαλεπὴ 𝔯.—[m] ἐς ΓΘΞΣΒC*uye*𝔯 : εἰς *ς. τἄλλα 𝔄Θ𝔯 : τὰ ἄλλα *ς.—[n] ἢ Γ.—[o] φυτείαν χρὴ εἴτε (omisso mox δεῖ) 𝔯.—[p] ἡ om 𝔄Θ.—[q] διότι pr E.—[r] οὖν om E.—[s] γὰρ delet Γ.—[t] ἀγενὴς 𝔢, ἀγεννὲς *u*.—[u] δὴ om E.—[v] αὐτοῦ corr Γ.—[w] αὐτῶν 𝔄ΘΒC*uye*.—[x] τούτων F*u*.—[y] μικρὸν 𝔄, μακρὸν F𝔯.—[z] οὖν om Ξ.—[a] μάλιστ' Γ.—

§. 1. *τουτουί*] Theagis filii, quem secum duxisse videtur. Beck.

δοκῶ] An *δοκεῖ γάρ μοι*? Steph.

δοκεῖ] Ex conject. Steph. scripsi. Aut *δοκῶ γὰρ*, omisso *μοι* legendum erat. Beck.

δοκούντων] *οἱ δοκοῦντες* dicuntur ii qui sunt in pretio et existimatione; *οἱ εὐδόκιμοι*: et ita in hoc auctore sæpe accipitur. Verisimile est patrem ad filium instituendum e tanta sophistarum turba nominatiorem celebrioremque quæsivisse. Serran. qui sic vertit, *Ut illum sophistarûm cuidam celebriori in disciplinam tradam.* Ita vero Steph. *Ut illum alicui eorum qui sophistæ habentur, commendem*, vel *conciliem*.

§. 2. ΣΩ. Ἀλλὰ μὲν δή, ὦ Δημόδοκε, καὶ λέγεταί γε συμβουλὴ[c] ἱερὸν χρῆμα εἶναι. εἴπερ οὖν καὶ ἄλλη ἡτισοῦν[d] ἐστὶν ἱερά, καὶ αὕτη[e] ἂν εἴη περὶ ἧς σὺ νῦν συμβουλεύει·[f] οὐ γάρ ἔστι περὶ ὅτου θειοτέρου ἂν ἄνθρωπος βουλεύσαιτο ἢ περὶ παιδείας καὶ αὑτοῦ καὶ τῶν αὑτοῦ οἰκείων. πρῶτον μὲν οὖν ἐγώ τε καὶ σὺ συνομολογήσωμεν τί ποτε οἰόμεθα τοῦτ'[g] εἶναι περὶ οὗ βουλευόμεθα. μὴ γὰρ πολλάκις ἐγὼ μὲν ἄλλο τι αὐτὸ ὑπολαμβάνω, σὺ δὲ ἄλλο, κἄπειτα πόῤῥω που τῆς συνουσίας[h] αἰσθώμεθα[i] γελοῖοι ὄντες, ἐγώ τε ὁ συμβουλεύων καὶ σὺ ὁ συμβουλευόμενος, μηδὲν τῶν αὐτῶν ἡγούμενοι.

ΔΗ. Ἀλλά μοι δοκεῖς ὀρθῶς λέγειν, ὦ Σώκρατες, καὶ ποιεῖν χρὴ οὕτως.

ΣΩ. Καὶ λέγω γε ὀρθῶς, οὐ μέντοι[j] παντάπασί γε· σμικρὸν γάρ τι μετατίθεμαι. ἐννοῶ γὰρ μὴ καὶ ὁ μειρακίσκος οὗτος οὐ τούτου ἐπιθυμῇ[k] οὗ ἡμεῖς αὐτὸν οἰόμεθα II. iii. 262.
ἐπιθυμεῖν, ἀλλ' ἑτέρου, εἶτ' αὖ ἡμεῖς ἔτι ἀτοπώτεροι ὦμεν περὶ ἄλλου του βουλευόμενοι. ὀρθότατον[l] οὖν μοι δοκεῖ εἶναι ἀπ' αὐτοῦ τούτου ἄρχεσθαι, διαπυνθανομένους ὅ τι καὶ ἔστιν οὗ ἐπιθυμεῖ.

ΔΗ. Κινδυνεύει γοῦν οὕτω βέλτιστον εἶναι ὡς σὺ λέγεις.

§. 3. ΣΩ. Εἰπὲ δή μοι τί καλὸν ὄνομα τῷ νεανίσκῳ; τί αὐτὸν προσαγορεύωμεν;[m]

ΔΗ. Θεάγης ὄνομα τούτῳ, ὦ Σώκρατες.

ΣΩ. Καλόν γε,[n] ὦ Δημόδοκε, τῷ υἱεῖ τὸ[o] ὄνομα ἔθου καὶ ἱεροπρεπές. Εἰπὲ δὴ ἡμῖν, ὦ Θέαγες, ἐπιθυμεῖν φὴς σοφὸς γενέσθαι καὶ ἀξιοῖς σου τὸν πατέρα τόνδε ἐξευρεῖν ἀνδρός τινος συνουσίαν τοιούτου ὅς τίς σε[p] σοφὸν ποιήσει;

ΘΕ. Ναί.

[b] εἰ μὴ E.—[c] γε καὶ συμβουλὴ F.—[d] ἥτις, omisso οὖν, Σ.—[e] αὕτη 𝔄ΓΞCFuyeϒ : αὐτὴ *s.—[f] συμβουλεύει (ut solet) Θ, βουλεύῃ Ξe : συμβουλεύῃ s.—[g] τοῦτ' Γ.—[h] συνηθείας ϒ.—[i] αἰσθόμεθα EFϒ.—[j] μέντι C.—[k] ἐπιθυμεῖ 𝔄ΓΘΣBCEFuyeϒ.—[l] ὀρθότερον Γ.—[m] προσαγορεύωμεν 𝔄ΘΣBCFuye, προσαγορεύσαιμεν Γ : προσαγορεύομεν *s.—[n] γε delet Γ.—[o] ἢ τὸ Γ.—[p] σε om F.—[q] ὥσπερ F.—[r] πεπαίδευνται 𝔄ΓΘΞΣB

§. 2. ἐπιθυμεῖς] Legi ἐπεθύμεις jubet Schleierm. Recte. Nam infra νῦν τυγχάνεις ἐπιθυμῶν, et ἀπεκρίνω sequitur. Beck.

§. 3. προσαγορεύομεν] An προσαγορεύωμεν? Steph. Non est opus. Patres filiis nomina imponebant, qua de re proprium est τίθεσθαι ὄνομα. Beck.

ΣΩ. Σοφοὺς δὲ καλεῖς πότερον τοὺς ἐπιστήμονας, περὶ ὅτου ἂν ἐπιστήμονες ὦσιν, ἢ τοὺς μή;

ΘΕ. Τοὺς ἐπιστήμονας ἔγωγε.

ΣΩ. Τί οὖν; οὐκ ἐδιδάξατό σε ὁ πατὴρ καὶ ἐπαίδευσεν ἅ περ[q] ἐνθάδε οἱ ἄλλοι πεπαίδευνται,[r] οἱ τῶν καλῶν κἀγαθῶν[s] πατέρων υἱεῖς, οἷον γράμματά τε καὶ[t] κιθαρίζειν καὶ παλαίειν καὶ τὴν ἄλλην ἀγωνίαν;

ΘΕ. Ἐμέ γε.

II. iii. 263. I. 123. ΣΩ. Ἔτι οὖν οἴει τινὸς ἐπιστήμης ἐλλείπειν, ἧς προσήκει ὑπὲρ σοῦ τὸν πατέρα ἐπιμεληθῆναι;

ΘΕ. Ἔγωγε.

ΣΩ. Τίς ἐστιν αὕτη; εἰπὲ καὶ[u] ἡμῖν, ἵνα σοι χαρισώμεθα.

ΘΕ. Οἶδε καὶ οὗτος, ὦ Σώκρατες, ἐπεὶ πολλάκις ἐγὼ αὐτῷ[v] εἴρηκα· ἀλλὰ ταῦτα ἐξεπίτηδες πρὸς σὲ λέγει, ὡς δὴ[w] οὐκ εἰδὼς οὗ ἐγὼ ἐπιθυμῶ. τοιαῦτα γὰρ ἔτι καὶ[x] ἕτερα[y] καὶ πρὸς[z] ἐμὲ μάχεταί τε καὶ οὐκ[a] ἐθέλει με οὐδενὶ[b] συστῆσαι.

§. 4. ΣΩ. Ἀλλὰ τὰ μὲν ἔμπροσθέν σοι ἦν πρὸς τοῦτον ῥηθέντα ὥς περ ἄνευ μαρτύρων λεγόμενα· νυνὶ[c] δὲ ἐμὲ ποίησαι μάρτυρα, καὶ ἐναντίον[d] ἐμοῦ κάτειπε τίς ἐστιν[e] αὕτη ἡ σοφία ἧς ἐπιθυμεῖς. φέρε γάρ, εἰ[f] ἐπεθύμεις[g] ταύτης ᾗ[h] οἱ[i] ἄνθρωποι τὰ πλοῖα κυβερνῶσι, καὶ ἐγώ σε ἐτύγχανον ἀνερωτῶν[j] Ὦ Θέαγες, τίνος ἐνδεὴς ὢν σοφίας μέμφει τῷ πατρὶ ὅτι οὐκ ἐθέλει[k] σε συνιστάναι[l] παρ' ὧν[m] ἂν σὺ σοφὸς[n] γένοιο; τί ἄν μοι ἀπεκρίνω; τίνα αὐτὴν[o] εἶναι; ἆρ'[p] οὐ κυβερνητικήν;

ΘΕ. Ναί.

ΣΩ. Εἰ δὲ ἐπιθυμῶν[q] ταύτην τὴν σοφίαν εἶναι σοφὸς ᾗ τὰ ἅρματα κυβερνῶσιν, εἶτ' ἐμέμφου τῷ πατρί, ἐμοῦ αὖ[r]

Cuye𝔯: παιδεύονται *ς.—[s] ἀγαθῶν καὶ καλῶν Γ.—[t] καὶ om F.—[u] καὶ om 𝔯.—[v] αὐτῷ om Σ, ante ἐγὼ ponit 𝔯.—[w] δὴ om Σe.—[x] ἔτι καὶ om 𝔯.—[y] καὶ ἕτερα om 𝔄Θ.—[z] καὶ πρὸς...τε om y.—[a] καὶ οὐκ...με om C.—[b] οὐδὲν 𝔯.—[c] νυνὶ 𝔄ΞΣB𝔯: νῦν ς.—[d] ἐναντίων 𝔄.—[e] ἐστιν om E.—[f] εἰ om pr Γ.—[g] ἐπεθύμεις corr Γ, ἐπιθυμεῖ Θ, ἐπιθυμοῖς F: ἐπιθυμεῖς *ς.—[h] ᾗ om e.—[i] οἱ om Σe.—[j] ἀνερωτῶν 𝔄ΓΘΞBCFuye, ἂν ἐρωτῶν 𝔯: ἐρωτῶν *ς.—[k] ἐθέλῃ 𝔄.—[l] συστῆσαι corr Γ.—[m] ὧν 𝔄ΓΘΞΣBCFy𝔯: ᾧ *ς.—[n] σωφώτερος F.—[o] τίνα αὐτὴν 𝔄ΓΘΞΣBCFuye𝔯: τίνα ταύτην αὐτὴν *ς.—[p] ἆρ' Γe.—[q] ἐπιθυμεῖς Θ.—[r] ἂν F.—[s] τίν' Γ.—[t] οὐχ Σ.—[u] δὴ om E.—[v] τυγχάνει

ἐρωτῶντος τίς ἐστιν αὕτη ἡ σοφία, τίν'[s] ἂν ἀπεκρίνω αὐτὴν εἶναι; ἆρ' οὐχὶ[t] ἡνιοχικήν;

ΘΕ. Ναί. II. iii. 264.

ΣΩ. Ἧς δὲ δὴ[u] νῦν τυγχάνεις[v] ἐπιθυμῶν, πότερον[w] ἀνώνυμός[x] τίς ἐστιν ἢ ἔχει ὄνομα;

ΘΕ. Οἶμαι ἔγωγε ἔχειν.

ΣΩ. Πότερον οὖν αὐτὴν μὲν οἶσθα,[y] οὐ[z] μέντοι τό γε ὄνομα, ἢ καὶ τὸ ὄνομα;[a]

ΘΕ. Καὶ τὸ ὄνομα ἔγωγε.

ΣΩ. Τί οὖν ἔστιν; εἰπέ.

ΘΕ. Τί δὲ ἄλλο, ὦ Σώκρατες, αὐτῇ ὄνομα τις φαίη ἂν εἶναι ἀλλ' ἢ σοφίαν;

ΣΩ. Οὐκοῦν καὶ ἡ ἡνιοχεία[b] σοφία ἐστίν; ἢ ἀμαθία δοκεῖ σοι εἶναι;

ΘΕ. Οὐκ ἔμοιγε.

ΣΩ. Ἀλλὰ σοφία;

ΘΕ. Ναί.

ΣΩ. Ἧι τί χρώμεθα; οὐχ ᾗ ἵππων ἐπιστάμεθα ζεύγους ἄρχειν;

ΘΕ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ ἡ κυβερνητικὴ σοφία ἐστίν;

ΘΕ. Ἔμοιγε[c] δοκεῖ.

ΣΩ. Ἆρ' οὐχ αὕτη[d] ᾗ πλοίων[e] ἐπιστάμεθα ἄρχειν;

ΘΕ. Αὕτη μὲν οὖν.

ΣΩ. Ἧς δὲ δὴ σὺ ἐπιθυμεῖς, ἡ σοφία τίς ἐστιν; ᾗ τίνος ἐπιστάμεθα ἄρχειν;

ΘΕ. Ἐμοὶ μὲν δοκεῖ, ᾗ[f] τῶν ἀνθρώπων.

ΣΩ. Μῶν ᾗ[g] τῶν καμνόντων; II. iii. 265.

ΘΕ. Οὐ δῆτα.

ΣΩ. Ἰατρικὴ γὰρ αὕτη ἐστίν. ἦ γάρ;[h]

ΘΕ. Ναί.

ΣΩ. Ἀλλ' ᾗ τῶν ᾀδόντων ἐπιστάμεθα ἐν τοῖς χοροῖς ἄρχειν;

δ e.—[w] πότερον...ἔχειν om e.—[x] ἀνώνυμός...πότερον om Σ.—[y] οἶ Θ.—[z] οὐ...ἔγωγε om Θ.—[a] ἢ καὶ τὸ ὄνομα om pr Ξ.—[b] ἡνιοχεία ΓΞΣBCFuyer : ἡνιοχία *s.—[c] ἐμοὶ F.—[d] οὐκ ἀὑτὴ (χ above) 𝔄 : οὐκ αὐτὴ *s.—[e] πλοῖα F.—[f] ἡ 𝔄C, ᾗ (η above) F.—[g] ᾗ (η above) F, ἡ 𝔄.—[h] ᾗ

ΘΕ. Οὔ.

ΣΩ. Μουσικὴ[i] γὰρ αὕτη γε.

ΘΕ. Πάνυ γε.

ΣΩ. Ἀλλ' ᾗ τῶν γυμναζομένων ἐπιστάμεθα ἄρχειν;

ΘΕ. Οὔ.

ΣΩ. Γυμναστικὴ γὰρ αὕτη γε.

ΘΕ. Ναί.[j]

ΣΩ. Ἀλλ' ᾗ τῶν τί ποιούντων; προθυμοῦ εἰπεῖν, ὥς περ ἐγὼ σοὶ τὰ ἔμπροσθεν.

I. 124. ΘΕ. Ἧι τῶν ἐν τῇ πόλει, ἔμοιγε[k] δοκεῖ.

ΣΩ. Οὐκοῦν ἐν τῇ πόλει εἰσὶ καὶ οἱ κάμνοντες;

ΘΕ. Ναί, ἀλλ' οὐ τούτων λέγω μόνον, ἀλλὰ καὶ τῶν ἄλλων τῶν ἐν τῇ πόλει.

ΣΩ. Ἆρά γε μανθάνω ἣν λέγεις τέχνην; δοκεῖς γάρ μοι λέγειν οὐχ ᾗ τῶν θεριζόντων ἐπιστάμεθα ἄρχειν καὶ τῶν[l] τρυγώντων καὶ τῶν φυτευόντων καὶ σπειρόντων καὶ ἀλοώντων·[m] αὕτη μὲν γὰρ γεωργική, ᾗ τούτων ἄρχομεν.[n] ἦ γάρ;

II. iii. 266. ΘΕ. Ναί.

ΣΩ. Οὐδέ γε[o] ᾗ τῶν πριζόντων καὶ τρυπώντων καὶ ξεόντων καὶ τορνευόντων ξυμπάντων ἐπιστάμεθα ἄρχειν, οὐ ταύτην λέγεις· αὕτη μὲν[p] γὰρ οὐ τεκτονική;

ΘΕ. Ναί.

ΣΩ. Ἀλλ' ἴσως ᾗ[q] τούτων τε πάντων καὶ αὐτῶν τῶν γεωργῶν καὶ τῶν τεκτόνων καὶ τῶν δημιουργῶν ἁπάντων καὶ τῶν ἰδιωτῶν καὶ τῶν γυναικῶν καὶ ἀνδρῶν· ταύτην ἴσως λέγεις τὴν σοφίαν.

ΘΕ. Ταύτην πάλαι,[r] ὦ Σώκρατες, βούλομαι λέγειν.

§. 5. ΣΩ. Ἔχεις οὖν εἰπεῖν, Αἴγισθος ὁ Ἀγαμέμνονα[s] ἀποκτείνας ἐν Ἄργει ἆρα τούτων ἦρχεν ὧν σὺ λέγεις, τῶν τε δημιουργῶν καὶ ἰδιωτῶν καὶ ἀνδρῶν καὶ γυναικῶν ξυμπάντων, ἢ ἄλλων τινῶν;

ΘΕ. Οὐκ, ἀλλὰ τούτων.

μὲν γάρ F.—[i] μουσικὴ corr F : μουσικῆς *ς.—[j] γε ναί om 𝔯.—[k] ἔμοιγε...πόλει om 𝔯.—[l] τῶν ante τρυγώντων om 𝔄Θ𝔯.—[m] ἀλοώντων 𝔄, ἀλυόντων u.—[n] ἀρχόμεθα EF.—[o] γε οἶμαι ᾗ 𝔄Ξ𝔯.—[p] μὲν add ΓΘΞΣBCuye𝔯.—[q] ᾗ C.—[r] πάλιν F.—[s] ἀγα-

ΣΩ. Τί δαὶ[t] δή;[u] Πηλεὺς ὁ Αἰακοῦ ἐν Φθίᾳ οὐ τῶν αὐτῶν τούτων[v] ἦρχεν;

ΘΕ. Ναί.

ΣΩ. Περίανδρον δὲ τὸν Κυψέλου ἄρχοντα ἐν Κορίνθῳ ἤδη ἀκήκοας γενέσθαι;

ΘΕ. Ἔγωγε.

ΣΩ. Οὐ τῶν αὐτῶν τούτων ἄρχοντα ἐν τῇ αὑτοῦ[w] πόλει;

ΘΕ. Ναί.

ΣΩ. Τί δαί;[x] Ἀρχέλαον τὸν Περδίκκου,[y] τὸν νεωστὶ II. iii. 267.
τούτων[z] ἄρχοντα ἐν Μακεδονίᾳ, οὐ τῶν αὐτῶν ἡγεῖ τούτων[a] ἄρχειν;

ΘΕ. Ἔγωγε.

ΣΩ. Ἱππίαν δὲ τὸν Πεισιστράτου ἐν τῇδε τῇ πόλει ἄρξαντα[b] τίνων οἴει ἄρξαι; οὐ τούτων;

ΘΕ. Πῶς γὰρ οὔ;

ΣΩ. Εἴποις ἂν οὖν μοι τίνα ἐπωνυμίαν ἔχει Βάκις[c] τε καὶ Σίβυλλα καὶ ὁ ἡμεδαπὸς Ἀμφίλυτος;

ΘΕ. Τίνα γὰρ ἄλλην, ὦ Σώκρατες, πλήν γε χρησμῳδοί;

ΣΩ. Ὀρθῶς λέγεις, ἀλλὰ καὶ τούσδε μοι οὕτω πειρῶ[d] ἀποκρίνασθαι, τίν'[e] ἐπωνυμίαν ἔχει Ἱππίας καὶ Περίανδρος διὰ τὴν αὐτὴν ἀρχήν;

ΘΕ. Οἶμαι μὲν τύραννοι· τί γὰρ ἄλλο;

ΣΩ. Οὐκοῦν ὅς τις ἐπιθυμεῖ τῶν ἀνθρώπων τῶν ἐν τῇ πόλει ξυμπάντων ἄρχειν, τῆς αὐτῆς ἀρχῆς τούτοις ἐπιθυμεῖ, τυραννικῆς, καὶ τύραννος εἶναι;

ΘΕ. Φαίνεται.

ΣΩ. Οὐκοῦν ταύτης ἐπιθυμεῖν[f] σὺ φής;

ΘΕ. Ἔοικέ γε ἐξ ὧν ἐγὼ εἶπον.

ΣΩ. Ὦ μιαρέ, τυραννεῖν ἄρα ἡμῶν ἐπιθυμῶν πάλαι[g]
ἐμέμφου τῷ πατρὶ ὅτι σε οὐκ ἔπεμπεν[h] εἰς διδασκάλου I. 125.

μέμνον' u.—[t] δαὶ ΘΞ et corr 𝔄 : δὲ s.—[u] δὴ om Σ.—[v] τούτων om Σ.—[w] αὑτοῦ 𝔄Γ ΘΞΣΒCuyer : αὐτῇ *s.—[x] δαὶ ΓΘΞ et corr 𝔄 : δέ s.—[y] περδίκου ΣF.—[z] τοῦτον corr F.—[a] τούτων ἡγῇ Σ.—[b] ἄρξασθαι E.—[c] κάκις y.—[d] πειρῶ οὕτως r.—[e] τίν' Γ.

§. 5. τούτων] Videtur τούτων expungendum esse, et ex proxim. seq. irrepsisse. Steph.

διδασκάλου] Ex interpretamento accessisse videtur. Itaque uncinis inclusi. Deleri voluit etiam Schleierm. Beck.

II. iii. 268. τυραννοδιδασκάλου τινός; Καὶ σύ, ὦ Δημόδοκε, οὐκ αἰσχύνει πάλαι εἰδὼς οὗ ἐπιθυμεῖ οὗτος; καὶ ἔχων ὅποι[i] πέμψας[j] αὐτὸν δημιουργὸν ἂν ἐποίησας τῆς σοφίας ἧς ἐπιθυμεῖ, ἔπειτα φθονεῖς τε[k] αὐτῷ καὶ οὐκ ἐθέλεις πέμπειν; ἀλλὰ νῦν—ὁρᾷς;—ἐπειδὴ ἐναντίον ἐμοῦ κατείρηκέ[l] σου, κοινῇ βουλευώμεθα[m] ἐγώ τε καὶ σύ, ἐς τίνος[n] ἂν αὐτὸν πέμποιμεν καὶ[o] διὰ τὴν τίνος συνουσίαν σοφὸς ἂν γένοιτο τύραννος;

ΔΗ. Ναὶ μὰ Δία, ὦ Σώκρατες, βουλευώμεθα δῆτα, ὡς δοκεῖ γέ μοι βουλῆς δεῖν περὶ τούτου οὐ φαύλης.

ΣΩ. Ἔασον, ὦ 'γαθέ, διαπυθώμεθα[p] αὐτοῦ πρῶτον ἱκανῶς.

ΔΗ. Πυνθάνου δή.

§. 6. ΣΩ. Τί οὖν ἂν εἰ[q] Εὐριπίδῃ τι προσχρησαίμεθα,[r] ὦ Θέαγες; Εὐριπίδης γάρ πού φησι

σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ.

εἰ οὖν ἔροιτό τις τὸν Εὐριπίδην[s] Ὦ Εὐριπίδη, τῶν τί[t] σοφῶν συνουσίᾳ φῂς σοφοὺς εἶναι τοὺς τυράννους; ὥσπερ ἂν εἰ εἰπόντα[u]

σοφοὶ γεωργοὶ τῶν σοφῶν συνουσίᾳ

ἠρόμεθα[v] τῶν τί σοφῶν, τί ἂν ἡμῖν ἀπεκρίνατο;[w] ἆρ' ἂν ἄλλο τι ἢ τῶν[x] τὰ γεωργικά;

ΘΕ. Οὔκ, ἀλλὰ τοῦτο.

ΣΩ. Τί δαί;[y] εἰ εἶπε

II. iii. 269. σοφοὶ μάγειροι τῶν σοφῶν συνουσίᾳ,

εἰ ἠρόμεθα τῶν τί σοφῶν, τί ἂν οἴει αὐτὸν ἀποκρίνασθαι;[z] οὐχ ὅτι τῶν μαγειρικῶν;[a]

ΘΕ. Ναί.[b]

—[f] ἐπιθυμεῖσ 𝔄.—[g] πάλιν F.—[h] ἔπεμψεν Γ.—[i] libri ὅθι.—[j] πέμψαι E.—[k] τε om ϱ.—[l] κατηγόρηκέ ΣBCuyϱ, κατηγόρησε EF.—[m] βουλευόμεθα 𝔄ΓΘΣBCy et pr u.—[n] ἐς τίνα corr Γ: ἔστιν οἷ *ς.—[o] καὶ ante διὰ om Θ.—[p] καὶ διαπυθώμεθα Γ.—[q] ἢ ϱ.—[r] προσχρησόμεθα 𝔵.—[s] τὸν εὐριπίδην ἔροιτο F.—[t] τί om pr E.—[u] εἰπάντα pr Σ.—[v] ἠρώμεθα 𝔄.—[w] τί ἂν οἴει αὐτὸν ἀποκρίνασθαι ϱ et γρ 𝔄ΣBCu.—[x] τῶν om F.—[y] δαὶ Θ et corr 𝔄.—[z] οἴει αὐτὸν ἀποκρίνασθαι] ἡμῖν ἀπεκρίνατο libri omnes.—[a] μαγείρων ΓΘΣBCEuy𝔵.—[b] ναὶ om Θ et pr Γ.—[c] ἆρ' Γ.—[d] τῶν τι σοφῶν om 𝔵,

ὁρᾷς] Videtur per parenthesin legendum. Steph.

§. 6. Εὐριπίδης] Sophoclis potius versus esse dicitur. Beck.

τί ἂν ἡμῖν ἀπεκρίνατο] γρ. τί ἂν οἴει αὐτὸν ἀποκρίνασθαι; Steph. Id vero ex seqq. ductum. Beck.

ΣΩ. Τί δ', εἰ

σοφοὶ παλαισταὶ τῶν σοφῶν συνουσίᾳ

εἶπεν, εἰ ἠρόμεθα τῶν τί σοφῶν, ἆρ'[c] οὐκ ἂν τῶν παλαίειν ἔφη;

ΘΕ. Ναί.

ΣΩ. Ἐπειδὴ δὲ εἶπε

σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ,

ἡμῶν ἐρωτώντων Τῶν τί σοφῶν[d] λέγεις ὦ Εὐριπίδη; τί ἂν φαίη;[e] ποῖα[f] ἂν[g] εἶναι ταῦτα;

ΘΕ. Ἀλλὰ μὰ Δί' οὐκ οἶδ'[h] ἔγωγε.

ΣΩ. Ἀλλὰ[i] βούλει ἐγώ σοι εἴπω;

ΘΕ. Εἰ σὺ[j] βούλει.

ΣΩ. Ταῦτ' ἐστὶν ἅ περ ἔφη Ἀνακρέων τὴν Καλλικρήτην[k] ἐπίστασθαι. ἢ οὐκ οἶσθα τὸ ᾆσμα;

ΘΕ. Ἔγωγε.

ΣΩ. Τί οὖν; τοιαύτης τινὸς καὶ σὺ[l] συνουσίας ἐπιθυμεῖς ἀνδρὸς ὅς τις τυγχάνει ὁμότεχνος ὢν Καλλικρήτῃ τῇ[m] Κυανῆς,[n] καὶ ἐπίσταται τυραννικὰ ὥς περ ἐκείνην ἔφη ὁ ποιητής, ἵνα καὶ σὺ ἡμῖν τύραννος γένῃ καὶ τῇ[o] πόλει;

ΘΕ. Πάλαι, ὦ Σώκρατες, σκώπτεις καὶ παίζεις πρός με.

ΣΩ. Τί δαί;[p] οὐ ταύτης φῂς τῆς σοφίας ἐπιθυμεῖν ἧ II. iii. 270.
πάντων ἂν τῶν[q] πολιτῶν ἄρχοις;[r] τοῦτο δὲ ποιῶν ἄλλο τι ἢ τύραννος ἂν εἴης;

ΘΕ. Εὐξαίμην μὲν[s] ἄν, οἶμαι, ἔγωγε τύραννος γενέσθαι μάλιστα μὲν πάντων ἀνθρώπων, εἰ δὲ μή, ὡς πλείστων· καὶ I. 126.
σύ γ' ἄν, οἶμαι, καὶ οἱ[t] ἄλλοι πάντες ἄνθρωποι· ἔτι δέ γε ἴσως μᾶλλον θεὸς γενέσθαι· ἀλλ' οὐ τούτου ἔλεγον ἐπιθυμεῖν.

§. 7. ΣΩ. Ἀλλὰ τί δαὶ[u] ἔστι ποτὲ οὗ ἐπιθυμεῖς; οὐ τῶν πολιτῶν φῂς ἄρχειν ἐπιθυμεῖν;

c τῶν om ς.—e φαίην (η supra) 𝔄.—f ποῖαν e.—g ἃ 𝔄Θ, om e.—h οἶδ' om ΣBCEy et pr Fu.—i ἀλλ' εἰ r.—j σὺ add 𝔄ΓΘΞΣBCuyer.—k καλλικρίτην u.—l σὺ om r.—m τῆς e.—n κυάνης 𝔄.—o ἐν τῇ r, καὶ τῇ (ἐν supra) 𝔄.—p δαὶ Θ et corr 𝔄: δὲ *ς.—q τῶν om u.—

§. 7. τί δὲ] Π. τί γε ἐστί. STEPH. Rectius hic ἀλλὰ δὲ legitur. BECK.

ΘΕ. Οὐ βίᾳ γε οὐδ᾽ ὥς περ οἱ τύραννοι, ἀλλ᾽ ἑκόντων, ὥς περ καὶ οἱ ἄλλοι οἱ[v] ἐν τῇ πόλει ἐλλόγιμοι ἄνδρες.

ΣΩ. Ἆρά γε λέγεις ὥς περ Θεμιστοκλῆς καὶ Περικλῆς καὶ Κίμων καὶ ὅσοι τὰ πολιτικὰ δεινοὶ γεγόνασιν;

ΘΕ. Νὴ Δία τούτους λέγω.

ΣΩ. Τί οὖν; εἰ τὰ ἱππικὰ ἐτύγχανες ἐπιθυμῶν σοφὸς γενέσθαι, παρὰ τίνας[w] ἂν ἀφικόμενος ᾠήθης δεινὸς[x] ἔσεσθαι ἱππεύς; ἢ παρ᾽ ἄλλους τινὰς ἢ τοὺς[y] ἱππικούς;

ΘΕ. Μὰ Δί᾽ οὐκ ἔγωγε.

ΣΩ. Ἀλλὰ παρ᾽ αὐτοὺς αὖ[z] τοὺς δεινοὺς ὄντας ταῦτα, καὶ οἷς εἰσί τε ἵπποι[a] καὶ χρῶνται ἑκάστοτε καὶ οἰκείοις καὶ ἀλλοτρίοις πολλοῖς;

ΘΕ. Δῆλον ὅτι.

II. iii. 271. ΣΩ. Τί δαί;[b] εἰ τὰ ἀκοντιστικὰ σοφὸς ἐβούλου γενέσθαι, οὐ παρὰ τοὺς ἀκοντιστικοὺς ᾤου ἂν[c] ἐλθὼν σοφὸς ἔσεσθαι, τούτους οἷς ἔστι τε ἀκόντια καὶ πολλοῖς καὶ[d] ἀλλοτρίοις καὶ οἰκείοις ἑκάστοτε χρῶνται ἀκοντίοις;

ΘΕ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Λέγε δή μοι· ἐπεὶ δὲ δὴ[e] τὰ πολιτικὰ βούλει σοφὸς γενέσθαι, οἴει παρ᾽ ἄλλους τινὰς ἀφικόμενος σοφὸς ἔσεσθαι ἢ τοὺς πολιτικοὺς τούτους, τοὺς αὐτούς τε δεινοὺς ὄντας τὰ πολιτικὰ καὶ χρωμένους ἑκάστοτε τῇ τε αὐτῶν πόλει καὶ ἄλλαις πολλαῖς, καὶ Ἑλληνίσι προσομιλοῦντας[f] πόλεσι καὶ βαρβάροις; ἢ δοκεῖς ἄλλοις τισὶ συγγενόμενος σοφὸς ἔσεσθαι ταῦτα ἅ περ οὗτοι, ἀλλ᾽ οὐκ αὐτοῖς τούτοις;

ΘΕ. Ἀκήκοα γάρ, ὦ Σώκρατες, οὕς σέ[g] φασι λέγειν τοὺς λόγους, ὅτι τούτων[h] τῶν πολιτικῶν ἀνδρῶν[i] οἱ υἱεῖς οὐδὲν βελτίους εἰσὶν ἢ οἱ τῶν σκυτοτόμων· καί μοι δοκεῖς ἀληθέστατα λέγειν ἐξ ὧν ἐγὼ δύναμαι αἰσθέσθαι.[j] ἀνόητος

[r] ἄρχης Ξ.—[s] μὲν om Ξ.—[t] οἱ om F.—[u] δαὶ Θ et corr 𝔄.—[v] οἱ post ἄλλοι add ΞΣBCFyer.—[w] τίνος 𝔄ΣCFe et pr Γ.—[x] δεινὸς om Γ.—[y] ἢ παρὰ τοὺς F.—[z] ἂν r.—[a] οἳ εἰσί τε ἱππικοὶ 𝔄ΓΘΞΣBCEFuyr.—[b] δαὶ ΓΘ.—[c] ἂν om EF.—[d] καὶ post πολλοῖς delet u, om e.—[e] δὴ δὲ r.—[f] προσομιλοῦντες Θ.—[g] γε Cy.—[h] τούτων om r.—[i] ἀνδρῶν om pr Ξ.—[j] αἴσθεσθαι ΓΞΣBue, ἔσεσθαι Fr et pr E, οἴεσθαι mg F.—

ἔσεσθαι] Postrema verba, ἐξ ὧν ἐγὼ δύναμαι ἔσεσθαι, nullam sententiam exhibent, et manuscriptus Codex ἔρεσθαι æque falso et nulla commoda sententia habet. Ego itaque aut οἴεσθαι puto legendum esse, id est, *arbitrari et censere*,

οὖν[k] ἂν εἴην εἰ οἰοίμην τινὰ τούτων ἐμοὶ μὲν ἂν παραδοῦναι[l] τὴν αὑτοῦ σοφίαν, τὸν δὲ υἱὸν τὸν[m] αὑτοῦ μηδὲν[n] ὠφελῆσαι, εἴ τι οἷός τ' ἦν εἰς ταῦτα ὠφελεῖν ἄλλον ὁντιναοῦν ἀνθρώπων.

ΣΩ. Τί ἂν οὖν,[o] ὦ[p] βέλτιστε ἀνδρῶν, χρήσαιο σαυτῷ, εἴ σοι ἐπειδὴ γένοιτο υἱὸς τοιαῦτα πράγματα παρέχοι,[q] II. iii. 272.
καὶ φαίη μὲν ἂν ἐπιθυμεῖν ἀγαθὸς γενέσθαι ζωγράφος, καὶ μέμφοιτο σοὶ τῷ πατρὶ ὅτι οὐκ ἐθέλεις ἀναλίσκειν εἰς αὐτὸν τούτων αὐτῶν ἕνεκα ἀργύριον, τοὺς δὲ δημιουργοὺς αὐτοῦ τούτου[r] τοὺς ζωγράφους ἀτιμάζοι τε καὶ μὴ βούλοιτο παρ' αὐτῶν μανθάνειν; ἢ τοὺς αὐλητάς, βουλόμενος αὐλητὴς γενέσθαι, ἢ τοὺς κιθαριστάς; ἔχοις ἂν αὐτῷ ὅ τι χρῷο[s] καὶ[t] ὅποι[u] πέμποις ἄλλοσε μὴ ἐθέλοντα παρὰ τούτων μανθάνειν;

ΘΕ. Μὰ Δί' οὐκ ἔγωγε.

ΣΩ. Νῦν οὖν ταὐτὰ ταῦτα αὐτὸς πρὸς τὸν πατέρα I. 127.
ποιῶν θαυμάζεις καὶ μέμφει εἰ ἀπορεῖ ὅ τί σοι χρήσηται[v] καὶ ὅποι[w] πέμπῃ;[x] ἐπεὶ Ἀθηναίων γε τῶν καλῶν κἀγαθῶν τὰ πολιτικὰ ὅτῳ ἂν βούλῃ συστήσομέν σε,[y] ὅς σοι[z] προῖκα συνέσται· καὶ ἅμα μὲν ἀργύριον οὐκ ἀναλώσεις,[a] ἅμα δὲ πολὺ μᾶλλον εὐδοκιμήσεις παρὰ τοῖς πολλοῖς ἀνθρώποις[b] ἢ ἄλλῳ τῳ συνών.[c]

§. 8. ΘΕ. Τί οὖν, ὦ Σώκρατες; οὐ καὶ σὺ τῶν καλῶν κἀγαθῶν εἶ[d] ἀνδρῶν; εἰ γάρ σύ μοι ἐθέλοις[e] συνεῖναι, ἐξαρκεῖ καὶ οὐδένα ἄλλον ζητῶ.

ΣΩ. Τί τοῦτο λέγεις,[f] Θέαγες;

ΔΗ. Ὦ Σώκρατες, οὐ μέντοι κακῶς λέγει, καὶ ἅμα μὲν ἐμοὶ χαριεῖ, ὡς ἐγὼ οὐκ ἔσθ' ὅ τι τούτου μεῖζον ἂν ἕρμαιον[g] ἡγησαίμην, ἢ εἰ οὗτός τε[h] ἀρέσκοιτο[i] τῇ σῇ συν- II. iii. 273.

[k] οὖν post ἂν ponunt 𝔄Θ, om y.—[l] προδοῦναι 𝔯.—[m] τὸν post υἱὸν om Σ.—[n] μηδένα Γ.—[o] οὖν ἂν 𝔄ΘΞ𝔯.—[p] ὦ om 𝔢.—[q] παρέχει Ε.—[r] τούτους 𝔯.—[s] χρῷ ΓΘ.—[t] ὅτι καὶ Θ.—[u] ὅπῃ 𝔯.—[v] χρήσηται 𝔄ΓΘ et corr Ξ: χρήσεται *ς.—[w] ὅπῃ 𝔯.—[x] πέμπει 𝔯: πέμποι *ς.—[y] τε Ξ.—[z] σοι Σ.—[a] ἀναλώσαις 𝔯ς.—[b] ἀνθρώποις om Γ.—[c] συνιών 𝔢.—[d] εἶ post ἀνδρῶν ponit Γ, om F.—[e] ἐθέλοις 𝔄ΓΘΞ: ἐθέλεις *ς.—[f] λέγεις om Θ et pr 𝔄.—[g] ἕρμαῖον Β, ἑρμαῖον Ε.—[h] τε om 𝔯.—[i] ἀρκέσοιτο ΓΞΣΒCΕuy cum pr 𝔄

ut respondeat verbo præcedenti δοκεῖς· aut αἰσθέσθαι, ut sit sententia, quam ego expressi. Cornar.

χρήσαιο αὐτῷ] Vulg. χρησ. σαυτῷ. Correxi sensu et Schleierm. jubente. Sequitur enim ὅ,τι χρῷο αὐτῷ. Beck.

ἀναλώσαις] Π. ἀναλώσεις. Steph.

ουσίᾳ καὶ σὺ ἐθέλοις[j] *τούτῳ συνεῖναι. καὶ μέντοι καὶ αἰσχύνομαι λέγειν ὡς σφόδρα βούλομαι. ἀλλ᾽ ἐγὼ ἀμφοτέρων ὑμῶν δέομαι, σέ τ᾽ ἐθέλειν*[k] *τούτῳ συνεῖναι καὶ σὲ*[l] *μὴ ζητεῖν ἄλλῳ μηδενὶ συγγενέσθαι ἢ Σωκράτει· καί με πολλῶν καὶ φοβερῶν ἀπαλλάξετε*[m] *φροντίδων, ὡς*[n] *νῦν πάνυ φοβοῦμαι ὑπὲρ τούτου, μή τινι ἄλλῳ ἐντύχῃ οἵῳ τοῦτον διαφθεῖραι.*[o]

ΘΕ. *Μηκέτι νῦν, ὦ πάτερ, ὑπέρ γ᾽ ἐμοῦ φοβοῦ, εἴ περ οἷός τ᾽ εἶ πεῖσαι τοῦτον τὴν ἐμὴν συνουσίαν προσδέξασθαι.*

ΔΗ. *Πάνυ καλῶς λέγεις. Ὦ Σώκρατες, πρὸς σὲ δ᾽ ἂν ἤδη*[p] *εἴη ὁ μετὰ τοῦτο*[q] *λόγος. ἐγὼ γάρ σοι ἕτοιμός εἰμι, ὡς*[r] *διὰ βραχέων εἰπεῖν, καὶ ἐμὲ καὶ τὰ ἐμὰ ὡς οἷόν τε οἰκειότατα παρέχειν,*[s] *ὅτου ἂν δέῃ*[t] *ἔμβραχυ, ἐὰν Θεάγη τουτονὶ ἀσπάζῃ τε καὶ εὐεργετῇς ὅ τι ἂν οἷός τε ᾖς.*

§. 9. ΣΩ. *Ὦ Δημόδοκε, τὸ μὲν ἐσπουδακέναι σε οὐ θαυμάζω, εἴ περ οἴει ὑπ᾽ ἐμοῦ μάλιστ᾽ ἄν*[u] *σοι τοῦτον ὠφεληθῆναι· οὐ γὰρ οἶδα*[v] *ὑπὲρ ὅτου ἄν τις νοῦν ἔχων μᾶλλον σπουδάζοι*[w] *ἢ ὑπὲρ υἱέος αὑτοῦ, ὅπως ὡς βέλτιστος ἔσται· ὁπόθεν*[x] *δὲ ἔδοξέ σοι τοῦτο, ὡς ἐγὼ ἂν μᾶλλον τὸν σὸν υἱὸν οἷός τε*[y] *ἦν ὠφελῆσαι πρὸς τὸ πολίτην ἀγαθὸν*[z] *γενέσθαι ἢ*
II. iii. 274. *σὺ αὐτός, καὶ ὁπόθεν οὗτος ᾠήθη ἐμὲ μᾶλλον ἢ σὲ αὐτὸν ὠφελήσειν, τοῦτο πάνυ θαυμάζω. σὺ γὰρ πρῶτον μὲν*[a] *πρεσβύτερος εἶ*[b] *ἐμοῦ, ἔπειτα πολλὰς ἤδη ἀρχὰς καὶ τὰς μεγίστας Ἀθηναίοις ἦρξας, καὶ τιμᾷ ὑπὸ Ἀναγυρασίων τε*[c] *τῶν δημοτῶν πολὺ μάλιστα καὶ ὑπὸ τῆς ἄλλης πόλεως οὐδενὸς ἧττον· ἐμοὶ δὲ τούτων οὐδὲν ἐνορᾷ οὐδέτερος*[d] *ὑμῶν. ἔπειτα εἰ ἄρα τῆς μὲν τῶν*[e] *πολιτικῶν ἀνδρῶν συνουσίας Θεάγης ὅδε καταφρονεῖ, ἄλλους δέ τινας ζητεῖ οἳ παιδεύειν ἐπαγγέλλονται οἷοί τε*[f] *εἶναι νέους ἀνθρώπους, ἔστιν ἐν-*

et γρ F.—[j] ἐθέλεις E.—[k] plerique τε θέλειν.—[l] σὲ om E et pr F.—[m] ἀπαλλάξετε 𝔄ΓΘΞΣΒue: ἀπαλλάξατε *ς.—[n] ὃς 𝔵.—[o] διαφθαρῆναι 𝔵.—[p] ἤδη om ϱ.—[q] τοῦτο Σ: τοῦτον *ς.—[r] ὡς om Θ et pr 𝔄.—[s] παρέχῃ 𝔵.—[t] δέοι ϱ.—[u] ἂν om Σ.—[v] οἶδας F.—[w] σπουδάζῃ pr Γ, σπουδάζει corr.—[x] πόθεν F.—[y] τ᾽ 𝔵.—[z] πολίτην αὐτὸν ἀγαθὸν ΣCye et pr B.—[a] μὲν corr 𝔄.—[b] ἢ ϱ.—[c] τε καὶ Γ𝔵, om Σ.—[d] οὐδὲν Fy.—[e] τῶν om Γ.—[f] οἴονται Θ. οἷοί τ᾽ 𝔵.—[g] ὁ κῖος ΓΞ, ὁ χεῖος corr F, οἰκεῖος E.

§. 8. ἀπαλλάξατε] Steph. 'An ἀπαλλάξετε, ἢ, ἀπαλλάξαι?' Prius verius est visum. Beck.

ταῦθα καὶ Πρόδικος ὁ Κεῖος[g] καὶ Γοργίας ὁ Λεοντῖνος καὶ I. 128.
Πῶλος ὁ Ἀκραγαντῖνος καὶ ἄλλοι[h] πολλοί, οἳ οὕτω σοφοί
εἰσιν ὥστε εἰς τὰς πόλεις ἰόντες πείθουσι τῶν νέων τοὺς γεν-
ναιοτάτους τε[i] καὶ πλουσιωτάτους, οἷς ἔξεστι τῶν πολιτῶν
ᾧ ἂν βούλωνται προῖκα συνεῖναι, τούτους[j] πείθουσιν ἀπο-
λείποντας[k] τὰς ἐκείνων συνουσίας αὐτοῖς συνεῖναι, προσκα-
ταθέντας ἀργύριον πάνυ πολὺ[l] μισθόν, καὶ χάριν πρὸς
τούτοις εἰδέναι. τούτων τινὰς εἰκὸς ἦν προαιρεῖσθαι καὶ τὸν
υἱόν σου καὶ αὐτόν σε, ἐμὲ δ' οὐκ εἰκός· οὐδὲν γὰρ τούτων
ἐπίσταμαι τῶν μακαρίων τε καὶ καλῶν μαθημάτων, ἐπεὶ
ἐβουλόμην ἄν· ἀλλὰ καὶ λέγω δή που ἀεὶ ὅτι ἐγὼ τυγ-
χάνω ὡς ἔπος εἰπεῖν οὐδὲν ἐπιστάμενος πλήν γε σμικροῦ[m]
τινὸς μαθήματος, τῶν ἐρωτικῶν. τοῦτο μέντοι τὸ μάθημα II. iii. 275.
παρ' ὁντινοῦν ποιοῦμαι δεινὸς εἶναι καὶ τῶν προγεγονότων
ἀνθρώπων καὶ τῶν νῦν.

§. 10. ΘΕ. Ὁρᾷς, ὦ πάτερ, ὅτι Σωκράτης οὐ πάνυ μοι δοκεῖ τι[n] [ἔτι][o] ἐθέλειν ἐμοὶ συνδιατρίβειν; ἐπεὶ τό γ' ἐμὸν ἕτοιμον, ἐὰν οὗτος ἐθέλῃ·[p] ἀλλὰ ταῦτα παίζων πρὸς ἡμᾶς λέγει,[q] ἐπεὶ ἐγὼ οἶδα τῶν ἐμῶν[r] ἡλικιωτῶν καὶ ὀλίγῳ[s] πρεσβυτέρων οἳ πρὶν μὲν τούτῳ συνεῖναι οὐδενὸς ἄξιοι ἦσαν, ἐπειδὴ δὲ[t] συνεγένοντο τούτῳ, ἐν πάνυ ὀλίγῳ χρόνῳ πάντων βελτίους φαίνονται ὧν πρότερον χείρους.

ΣΩ. Οἶσθα οὖν οἷον τοῦτό ἐστιν, ὦ παῖ Δημοδόκου;

ΘΕ. Ναὶ μὰ Δί' ἔγωγε, ὅτι ἐὰν σὺ βούλῃ, καὶ ἐγὼ οἷός τ' ἔσομαι τοιοῦτος γενέσθαι οἷοί περ καὶ[u] ἐκεῖνοι.

ΣΩ. Οὔκ, ὦ 'γαθέ, ἀλλά σε λέληθεν οἷον τοῦτ' ἔστιν, ἐγὼ δέ σοι[v] φράσω. ἔστι γάρ τι θείᾳ μοίρᾳ παρεπόμενον

—[h] καὶ οἱ ἄλλοι e.—[i] τε om F.—[j] τούτους om r.—[k] ἀπολείπον Σ, ἀπολείπουσι r.—[l] πολὺ] libri πολὺν.—[m] γε σμικροῦ 𝔄ΓΘΞΣBCFuyer: σμικροῦ γέ *s.—[n] τι om Σ, delet u.—[o] [ἔτι] om e.—[p] ἐθέλοι 𝔄ΘΞBCuye, ἐθέλει Σ: ἐθέλῃ cum *s corr Γ.—[q] λέγοι pr Γ.—[r] ἐμῶν om F.—[s] ὀλίγων E et pr F.—[t] δὲ om Θ.—[u] καὶ om Γ.—

§. 9. *πάνυ πολὺν*] Malim *πάνυ πολὺ*, ut *μισθὸν* sit *mercedis loco*. Beck.

ἐρωτικῶν] *ἐρωτικὰ* vocat *τὰ μετὰ τὰ φυσικὰ*, (sicuti et in Gorgia) rerum abstrusarum, quæ vel in naturæ sinu continentur, vel quæ sunt præter naturam, cognitionem: sicuti Phædrum et Symposium, dialogos mere metaphysicos, hunc *περὶ ἔρωτος*, illum, *περὶ καλοῦ* inscripsit. Serran.

§. 10. *ἐὰν οὗτος ἐθέλῃ*] Ficin. vertit *modo ipse voluisset*. Videtur legisse *αὐτός*. Faehse.

ἐμοὶ ἐκ παιδὸς ἀρξάμενον δαιμόνιον. ἔστι δὲ τοῦτο φωνή,
ἣ ὅταν γένηται ἀεί μοι[w] σημαίνει, ὃ ἂν μέλλω πράττειν,
τούτου ἀποτροπήν, προτρέπει δὲ[x] οὐδέποτε. καὶ ἐάν τίς μοι[y]
τῶν φίλων ἀνακοινῶται καὶ γένηται ἡ φωνή, ταὐτὸν τοῦτο
ἀποτρέπει καὶ οὐκ ἐᾷ πράττειν. καὶ τούτων ὑμῖν[z] μάρτυ-
ρας παρέξομαι.[a] Χαρμίδην γὰρ τουτονὶ γιγνώσκετε τὸν
II. iii. 276. καλὸν γενόμενον,[b] τὸν Γλαύκωνος. οὗτός ποτε ἐτύγχανεν[c]
ἐμοὶ ἀνακοινούμενος[d] μέλλων ἀσκήσειν στάδιον εἰς Νε-
μέαν·[e] καὶ εὐθὺς αὐτοῦ ἀρχομένου λέγειν ὅτι μέλλοι[f] ἀσ-
κεῖν, ἐγένετο ἡ[g] φωνή. καὶ ἐγὼ διεκώλυόν τε αὐτὸν καὶ εἶ-
πον ὅτι Λέγοντός σου μεταξὺ γέγονέ μοι ἡ φωνὴ ἡ τοῦ
δαιμονίου· ἀλλὰ μὴ ἄσκει. Ἴσως, ἔφη, σημαίνει σοι ὅτι
οὐ νικήσω· ἐγὼ δὲ κἂν μὴ μέλλω νικᾶν, γυμνασάμενός γε
τοῦτον τὸν χρόνον[h] ὠφεληθήσομαι. ταῦτα εἰπὼν ἤσκει·
I. 129. ἄξιον οὖν πυθέσθαι[i] αὐτοῦ ἃ αὐτῷ ξυνέβη ἀπὸ ταύτης τῆς
ἀσκήσεως. Εἰ δὲ βούλεσθε τὸν Τιμάρχου ἀδελφὸν Κλει-
τόμαχον ἐρέσθαι,[j] τί εἶπεν αὐτῷ Τίμαρχος ἡνίκ'[k] ἀποθα-
νούμενος ᾔει[l] εὐθὺ τοῦ δαιμονίου, ἐκεῖνός τε καὶ Εὔαθλος ὁ
σταδιοδρομῶν,[m] ὃς Τίμαρχον ὑπεδέξατο φεύγοντα. ἐρεῖ
γὰρ ὑμῖν[n] ὅτι εἶπεν[o] αὐτῷ ταῦτα.[p]

ΘΕ. Τί;

§. 11. ΣΩ. Ὦ Κλειτόμαχε, ἔφη, ἐγὼ μέντοι ἔρχομαι ἀποθανούμενος νυνί, διότι Σωκράτει οὐκ ἤθελον πείθεσθαι. Τί[q] δὴ οὖν ποτὲ τοῦτο εἶπεν ὁ Τίμαρχος; ἐγὼ φράσω. ὅτε[r] ἀνίστατο ἐκ τοῦ συμποσίου ὁ Τίμαρχος καὶ Φιλήμων ὁ Φιλημονίδου ἀποκτενοῦντες Νικίαν τὸν Ἡροσκαμάνδρου, ἠπιστάσθην[s] μὲν αὐτὼ μόνω τὴν ἐπιβουλήν, ὁ δὲ Τίμαρχος

[v] τοι Θ.—[w] με F.—[x] δὲ om 𝔄𝔯.—[y] με 𝔢.—[z] ἡμῖν E.—[a] παρέξομαι μάρτυρας Γ.—[b] γιγνόμενον Γ.—[c] ἀναχανεν 𝔯.—[d] ἀνακινούμενος Σ.—[e] νέμεαν Euye, νεμαίαν 𝔄.
ει
—[f] μέλλοι 𝔄ΘΞΣBCuy, μέλλοι F: μέλλει *ς.—[g] ἡ om 𝔯.—[h] τρόπον 𝔯.—[i] βούλεσθαι 𝔄.—[j] ἔρεσθε 𝔯 et corr Γ.—[k] ἡνίκ' Γ.—[l] εἴη Θ et mg 𝔄: ᾔει corr 𝔄.—[m] σταδιοδρόμος 𝔯.—[n] ὑμῖν om E.—[o] εἶπον 𝔯.—[p] ταῦτα 𝔄Θ: ταυτί *ς.—[q] : τί ΓΞ.

ἐρέσθαι] An ἔρεσθε. ut interpung. post βούλεσθε. STEPH.

εὐθὺ τοῦ δαιμονίου] Exposui *adversus dæmonii mandatum*, sicuti εὐθὺ τοῦ δόγματος dixit in Alcibiade II. *contra decretum*: neque potest particula εὐθὺ alio referri: quemadmodum docet constructio. SERRAN.

εὐθὺ τοῦ δαιμονίου] *Quum recta proficisceretur ad mortem a dæmonio prædictam*, vel, *præsignificatam*: pro εὐθὺ τῆς φωνῆς τοῦ δαιμ. STEPH.

ἀνιστάμενος πρὸς ἐμὲ[t] εἶπε, Τί[u] λέγεις, ἔφη,[v] ὦ Σώκρατες; II. iii. 277. ὑμεῖς μὲν πίνετε, ἐμὲ δὲ δεῖ ποι ἐξαναστῆναι· ἥξω δὲ ὀλίγον ὕστερον, ἐὰν τύχω.[w] καί μοι ἐγένετο ἡ[x] φωνή, καὶ εἶπον πρὸς αὐτόν, Μηδαμῶς, ἔφην, ἀναστῇς· γέγονε γάρ μοι τὸ εἰωθὸς σημεῖον τὸ δαιμόνιον. καὶ ὃς ἐπέσχε.[y] καὶ διαλιπὼν[z] χρόνον αὖθις ὡρμᾶτο ἰέναι, καὶ ἔφη Εἶμι δή, Σώκρατες. αὖθις ἐγένετο ἡ φωνή· αὖθις οὖν[a] αὐτὸν ἠνάγκασα[b] ἐπισχεῖν. τὸ τρίτον, βουλόμενός με λαθεῖν,[c] ἀνέστη οὐκέτι εἰπών μοι οὐδὲν ἀλλὰ λαθών, ἐπιτηρήσας ἄλλοσε τὸν νοῦν ἔχοντα· καὶ οὕτως ᾤχετ'[d] ἀπιὼν καὶ διεπράξατο ἐξ ὧν ᾔει[e] ἀποθανούμενος. ὅθεν δὴ τοῦτ'[f] εἶπε πρὸς τὸν ἀδελφὸν ὅ περ νῦν ὑμῖν[g] ἐγώ, ὅτι ἴοι[h] ἀποθανούμενος διὰ τὸ ἐμοὶ ἀπιστῆσαι.[i] Ἔτι τοίνυν περὶ τῶν ἐν Σικελίᾳ πολλῶν ἀκούσεσθον ἃ ἐγὼ ἔλεγον περὶ τῆς διαφθορᾶς[j] τοῦ στρατοπέδου. Καὶ τὰ μὲν παρεληλυθότα τῶν εἰδότων ἔστιν ἀκοῦσαι· πεῖραν δ' ἔξεστι νυνὶ λαβεῖν τοῦ σημείου, εἰ[k] ἄρα· τι λέγει. ἐπὶ γὰρ τῇ ἐπὶ στρατείαν[l] ἐξορμῇ Σαννίωνος[m] τοῦ Καλοῦ ἐγένετό μοι τὸ[n] σημεῖον, οἴχεται δὲ νῦν μετὰ Θρασύλλου[o] στρατευσόμενος[p] εὐθὺ Ἐφέσου καὶ Ἰωνίας. ἐγὼ οὖν οἴομαι[q] ἐκεῖνον ἢ ἀποθανεῖσθαι ἢ ὁμοῦ τι τούτῳ[r] ἐλᾶν,[s] καὶ περί γε τῆς πραγματείας[t] τῆς ἄλλης πάνυ φοβοῦμαι.

—[r] ὅτι γ.—[s] ἠπιστάμην Θ, ἠπιστάτην ϒ.—[t] ἐμὲ 𝔄Θϒ : με ς.—[u] τί με Γ.—[v] ἔφη om Σ.—[w] τύχη EF.—[x] ἡ om F.—[y] ὑπέσχε Γ.—[z] διαλιπὼν 𝔄, διαλειπὼν Θ : διαλείπων *ς.—[a] οὖν om F.—[b] ἠνάγκασα αὐτὸν ϒ.—[c] μαθεῖν pr Γ.—[d] ᾤχετ' Γ.—[e] εἴη F.—[f] τοῦτ' Γ.—[g] ἡμῖν Γ.—[h] ᾔει ϒ.—[i] ἀποστῆναι Θ.—[j] διαφορᾶς uϒ.—[k] εἰ om Σ.—[l] στρατεία Ξe.—[m] σαννέωνος e.—[n] τὸ add 𝔄Θ.—[o] θρασύλου ϒ.—[p] στρατευόμενος Θϒ.—[q] ἴω (αι) Σ.—[r] τούτων F, τοῦτο Θ.—[s] γελαν 𝔄Θ.—[t] στρατείας 𝔄Θ.

§. 11. *ἐξ ὧν ᾔει ἀποθανούμενος*] Expressi sententiam. melius tamen, ut serventur Græcorum verborum vestigia, *ad præsentem mortem contendebat*: sed de industria verti, *mortem accersivit*, ut evitarem *βαττολογίαν*. idem enim mox repetitur. SERRAN. Ita vero STEPH. *Perpetravit ea ex quibus mortem sibi accersiturus proficiscebatur.*

εἰ ἄρα τι λέγει] *An aliquid dicat*, id est, 'An quæ dicit, minime sint nugæ; An prædictiones ejus seu præmonitiones non sint vanæ. Q. d. An dicat quod minime sit contemnendum.' STEPH.

τοῦ Καλοῦ] In Msto legitur τοῦ Καλοῦ, majuscula litera: ut proprium nomen significetur. quod quidem effecit ut *Cali filium* sim interpretatus: sicuti et Ficinus. Mox *εὐθὺ Ἐφέσου*, malo *adversus*: sicuti supra *εὐθὺ τοῦ δαιμονίου*. Asianorum enim bellorum ab Atheniensibus gestorum maxima pars fuit Ephesus. SERRAN.

τοῦ καλοῦ] *Sannio ille formosus in expeditionem proficisceretur.* Et mox, *εὐθὺ Ἐφέσου*, *recta Ephesum versus.* STEPH.

ἢ ὁμοῦ τι τούτῳ ἐλᾶν] Ita exposui ut minime dubia sit sententia, *Illum videlicet Sannionem eandem sortem subiturum*, vel, *incursurum, quam Timarchus*

II. iii. 278. §. 12. Ταῦτα δὴ πάντα εἴρηκά σοι, ὅτι ἡ δύναμις αὕτη
τοῦ δαιμονίου τούτου καὶ εἰς[u] τὰς συνουσίας τῶν μετ' ἐμοῦ
συνδιατριβόντων τὸ ἅπαν δύναται. πολλοῖς μὲν γὰρ ἐναν-
τιοῦται, καὶ οὐκ ἔστι τούτοις ὠφεληθῆναι μετ' ἐμοῦ διατρί-
βουσιν, ὥστε οὐχ οἷόν τέ μοι τούτοις συνδιατρίβειν· πολ-
λοῖς δὲ συνεῖναι μὲν οὐ διακωλύει, ὠφελοῦνται δὲ οὐδὲν συν-
όντες. οἷς δ' ἂν συλλάβηται τῆς συνουσίας[v] ἡ τοῦ δαιμο-
νίου δύναμις, οὗτοί εἰσιν ὧν καὶ σὺ ᾔσθησαι· ταχὺ γὰρ
παραχρῆμα ἐπιδιδόασι. Καὶ τούτων[w] αὖ τῶν ἐπιδι-
I. 130. δόντων οἱ μὲν καὶ[x] βέβαιον ἔχουσι καὶ παραμόνιμον τὴν
ὠφέλειαν·[y] πολλοὶ δὲ ὅσον ἂν μετ' ἐμοῦ χρόνον ὦσι,
θαυμάσιον ἐπιδιδόασιν, ἐπειδὰν δέ μου ἀπόσχωνται,[z] πάλιν
οὐδὲν διαφέρουσιν ὁτουοῦν. τοῦτό ποτε ἔπαθεν[a] Ἀριστείδης
ὁ Λυσιμάχου υἱὸς τοῦ Ἀριστείδου. διατρίβων γὰρ μετ'
ἐμοῦ πάμπολυ[b] ἐπεδεδώκει ἐν ὀλίγῳ χρόνῳ· ἔπειτα αὐτῷ
στρατεία τις ἐγένετο καὶ ᾤχετο ἐκπλέων. ἥκων δὲ κατε-
λάμβανε μετ' ἐμοῦ διατρίβοντα Θουκυδίδην τὸν Μελη-
σίου[c] υἱὸν τοῦ Θουκυδίδου. ὁ δὲ Θουκυδίδης τῇ προτεραίᾳ
μοι δι' ἀπεχθείας ἐν λόγοις τισὶν ἐγεγόνει. ἰδὼν με οὖν[d] ὁ
Ἀριστείδης, ἐπειδὴ ἠσπάσατό τε[e] καὶ τἆλλα διελέχθη,
Θουκυδίδην δέ, ἔφη, ἀκούω, ὦ Σώκρατες,[f] σεμνύνεσθαι ἄτ-
II. iii. 279. τα πρὸς σὲ καὶ χαλεπαίνειν ὥς τι ὄντα. Ἔστι γάρ, ἔφην
ἐγώ, οὕτως. Τί δαί;[g] οὐκ οἶδεν, ἔφη, πρὶν σοὶ συγγενέσθαι
οἷον ἦν τὸ ἀνδράποδον; Οὐκ ἔοικέ γε, ἔφην ἐγώ, νὴ τοὺς
θεούς. Ἀλλὰ μὴν καὶ αὐτός[h] γε,[i] ἔφη, καταγελάστως
ἔχω, ὦ Σώκρατες. Τί μάλιστ';[j] ἔφην ἐγώ. Ὅτι, ἔφη,
πρὶν μὲν[k] ἐκπλεῖν ὁτῳοῦν ἀνθρώπων[l] οἷός τ' ἦ[m] διαλέγεσθαι
καὶ μηδενὸς χείρων φαίνεσθαι ἐν τοῖς λόγοις, ὥστε καὶ

—[u] εἰ Θ.—[v] ξ. corr 𝔄.—[w] καὶ τούτων...ἐπιδιδόασιν om 𝔯.—[x] καὶ om u.—[y] ὠφε-λίαν 𝔄.—[z] ἀπίσχωνται Γ.—[a] ἔμαθεν 𝔄Θ.—[b] πάνυ πολὺ Γ.—[c] μελισίου Eyc.—[d] οὖν με 𝔄ΓΘΞΣBCuyc𝔯.—[e] με F.—[f] ἔφη σώκρατες ἀκούω Eϛ.—[g] δαὶ Θ.—[h] αὐτό 𝔯.—[i] δ' Γ.—[j] μάλιστ' Γ.—[k] μὲν 𝔄ΓΘΞΣBCFuyc𝔯: με Eϛ.—[l] ὁτῳοῦν ἂν ἀνθρώπω

subierit. Sic illud τούτῳ ad superiorem narrationem referri quis non videt! De hac autem Theagis sive natura sive affectione, vide Polit. v. p. 429. SERRAN.

§. 12. υἱὸς] Affertur [a Cornario] alia lectio, υἱοῦ τοῦ Ἀριστείδου. Itidemque paulo post, τὸν Μελησίου, υἱοῦ τοῦ Θουκυδίδου. Sed quemadmodum ὁ Λυσιμάχου dici potest, et τὸν Μελησίου, sine adjectione, ut illic υἱὸς, hic υἱὸν subaudiatur, ita cum τοῦ subaudiri potest υἱοῦ. STEPH.

ἐδίωκον τὰς συνουσίας τῶν χαριεστάτων ἀνθρώπων· νυνὶ δὲ τοὐναντίον φεύγω, ἄν τινα καὶ αἰσθάνωμαι[n] πεπαιδευμένον· οὕτως αἰσχύνομαι ἐπὶ τῇ ἐμαυτοῦ φαυλότητι. Πότερον δέ, ἦν δ' ἐγώ, ἐξαίφνης σε προὔλιπεν[o] αὕτη[p] ἡ δύναμις ἢ κατὰ σμικρόν; Κατὰ σμικρόν, ἦ δ' ὅς. Ἡνίκα δέ σοι παρεγένετο, ἦν δ' ἐγώ, πότερον μαθόντι παρ' ἐμοῦ τι παρεγένετο, ἤ τινι ἄλλῳ τρόπῳ; Ἐγώ σοι, ἔφη, ἐρῶ,[q] ὦ Σώκρατες, ἄπιστον μὲν νὴ τοὺς θεούς, ἀληθὲς δέ. ἐγὼ γὰρ ἔμαθον μὲν[r] παρὰ σοῦ οὐδὲν πώποτε, ὡς αὐτὸς οἶσθα· ἐπεδίδουν δὲ ὁπότε[s] σοι συνείην, κἂν εἰ ἐν τῇ αὐτῇ μόνον οἰκίᾳ εἴην, μὴ ἐν τῷ αὐτῷ δὲ οἰκήματι· μᾶλλον δὲ ὁπότε ἐν τῷ αὐτῷ οἰκήματι.[t] καὶ[u] ἔμοιγε ἐδόκουν πολὺ μᾶλλον ὁπότε ἐν τῷ αὐτῷ οἰκήματι ὢν λέγοντός σου βλέποιμι πρὸς σέ, μᾶλλον ἢ ὁπότε
ἄλλοσε[v] ὁρῴην.[w] πολὺ δὲ[x] μάλιστα καὶ πλεῖστον ἐπεδίδουν, II. iii. 280.
ὁπότε παρ' αὐτόν σε καθοίμην[y] ἐχόμενός σου καὶ ἁπτόμενος. νῦν δέ, ἦ δ' ὅς, πᾶσα ἐκείνη ἡ ἕξις[z] ἐξερρύηκεν.

§. 13. Ἔστιν οὖν, ὦ Θέαγες, τοιαύτη ἡ ἡμετέρα συνουσία· ἐὰν μὲν τῷ θεῷ φίλον ᾖ,[a] πάνυ πολὺ ἐπιδώσεις καὶ ταχύ, εἰ δὲ μή, οὔ. ὅρα οὖν[b] μή σοι ἀσφαλέστερον ᾖ παρ' ἐκείνων τινὶ παιδεύεσθαι, οἳ[c] ἐγκρατεῖς αὐτοί εἰσι τῆς ὠφελείας[d] ἣν ὠφελοῦσι τοὺς ἀνθρώπους, μᾶλλον ἢ παρ' ἐμοῦ ὅ τι ἂν τύχῃ,[e] τοῦτο πρᾶξαι.

ΘΕ. Ἐμοὶ μὲν τοίνυν δοκεῖ, ὦ Σώκρατες, ἡμᾶς οὑτωσὶ I. 131.
ποιῆσαι, ἀποπειραθῆναι τοῦ δαιμονίου τούτου συνόντας ἀλλήλοις. καὶ ἐὰν μὲν παρείκῃ[f] ἡμῖν, ταῦτα βέλτιστα· εἰ[g] δὲ μή, τότε ἤδη παραχρῆμα βουλευσόμεθα[h] ὅ τι δράσομεν, εἴτε ἄλλῳ συνεσόμεθα, εἴτε καὶ αὐτὸ τὸ θεῖον τὸ σοὶ γιγνόμενον πειρασόμεθα παραμυθεῖσθαι εὐχαῖσί[i] τε καὶ θυσίαις καὶ ἄλλῳ ὅτῳ ἂν οἱ μάντεις ἐξηγῶνται.

Θ et rc 𝔄.—[m] ᾗ Eu et pr ΓΒ : ἦν *s.—[n] αἰσθάνομαι 𝔄, αἴσθωμαι ΓCye et γρ Bu.—[o] προὔλειπεν 𝔄Θ et pr Γu.—[p] αὐτὴ F.—[q] ἔφη ἐρῶ Σ.—[r] μὲν add 𝔄Θ.—[s] ὁπότερος F.—[t] δὲ οἰκήματι 𝔄.—[u] καὶ...οἰκήματι om ΓΘ.—[v] ἄλλοσε...ὁπότε om Θ.—[w] δρῴ-
δὲ
μην 𝔯.—[x] δὲ 𝔯, δὴ 𝔄 : δὴ *s.—[y] καθοίμην 𝔄ΓΘΞΣΒCye et pr u : καθήμην *s.—[z] λέξις 𝔯.—[a] ᾖ om Θ, εἴη 𝔯.—[b] αὖ F.—[c] ὅτ' 𝔄Θ, οἵτ' 𝔯.—[d] ὠφελίας 𝔄.—[e] τύχῃ 𝔄ΓΘΞΣΒCuye𝔯 : τύχοι *s. malim τύχῃs.—[f] παρήκει Σ.—[g] εἰ Γ.—[h] βουλευόμεθα

αἰσθάνωμαι] γρ. αἴσθωμαι. Steph. Steph.
μὲν νὴ τοὺς θεοὺς] An μέν τι νὴ τ.? §. 13. εὐχαῖσι] An εὐχαῖς? Steph.

ΔΗ. Μηκέτι πρὸς ταῦτα ἀντείπῃς,[j] ὦ Σώκρατες, τῷ μειρακίῳ· εὖ γὰρ λέγει Θεάγης.[k]

ΣΩ. Ἀλλ' εἰ δοκεῖ χρῆναι οὕτω ποιεῖν, οὕτω ποιῶμεν.

Ξ.—[i] εὐχέσι corr F.—[j] ταῦτ' ἀντείποις Γ.—[k] θεαγένης e.

ΕΡΑΣΤΑΙ.

ARGUMENTUM.

Quid sit et quale officium philosophi, hic docetur. Est autem philosophi officium, divina nosse, gubernare humana: in illo contemplativa philosophia, in hoc activa comprehenditur: ad contemplativam conducit sapientia, ad activam prudentia et justitia. Prius autem duæ aliorum opiniones refutantur. Prima est eorum, qui philosophi officium dicunt esse, quam plurima discere: secunda Hippiæ sophistæ, volentis philosophiam artium omnium peritiam esse.

ΕΡΑΣΤΑΙ.*

§. 1. Εἰς Διονυσίου τοῦ γραμματιστοῦ[a] εἰσῆλθον, καὶ Steph. I. 132.
εἶδον αὐτόθι τῶν τε νέων τοὺς ἐπιεικεστάτους δοκοῦντας εἶ- Bek. II. iii. 283.

* Thrasyllus, philosophus, imperantibus Augusto et Tiberio, Platonicus, a Diog. L. ix. 37. citatus, videtur dubitare, utrum hic dialogus revera Platonis sit. At hæc Thrasylli suspicio nemini, quod sciam, antiquorum alii, ne ipsi quidem Laertio, probata est, qui elegantissimum hunc dialogum inter genuinos Platonis fœtus in ejus vita recenset. Pro Platonico item agnoscunt Theodoretus, Proclus, Olympiodorus, et Stobæus, nec in ullis Platonis codicibus ad suspectos relegatur. Ipsa denique dialogi materia eum e schola Socratica prodiisse satis ostendit, et subtile prorsus in eo contexendo artificium, grata personarum dissimilium compositio, sermonumque unicuique perfecte convenientium lepor Atticus auctorem suum non obscure indicant. Forst.

'Ερασταὶ] A Diog. L. non 'Ερασταὶ vocatur hic dialogus, sed 'Αντερασταί: a quo dicitur etiam esse ἠθικός. Videtur autem inscriptio illa 'Αντερασταὶ confirmari posse vel ex isto p. seq. loco, αἰνιττόμενος εἰς τὸν ἀντεραστήν. Steph.

Laertio item adstipulantur Theodoretus v. 4. p. 672. et Proclus in Euclid. p. 19. Olympiodorus autem in Vita Platonis, Diogeni L. t. ii. p. 582. affixa, dialogum hunc nomine vulgato appellat. At alter certe titulus ei potius convenit: quanquam enim plures hic ἐραστὰς in initio memorat Plato, duos solummodo, eosque sibi invicem ἀντεραστὰς, loquentes inducit. Hinc ergo nomen suum dialogum hunc accepisse verisimillimum est; qui et ἠθικὸς quoque, ob eam quæ in fine philosophiæ asseritur notionem, a veteribus inscribitur. Forst.

'Εραστὴς ex Græcorum ingenio et sensu est *amicus dilectissimus;* in malam partem hoc loco non est interpretandum. Idem est quod 'Ερώμενος, *amasius.* Unde Plutarch. in Erotico: ἐραστοῦ καὶ ἐρωμένου μέσος οὐδεὶς πώποτε διεξῆλθε πολέμιος. Stutzm.

Hunc dialogum, quem tuetur Forst. spurium esse tum ob externam formam tum ob internam indolem censuit Schleiermach. De notione philosophiæ in Platonis 'Ερασταῖς obvia singularem libellum edidit Aug. Magn. Kraftius L. 1786. 8. et nonnulla loca illustravit. Beck.

§. 1. Διονυσίου] Hic Platoni in re grammatica erat præceptor, teste Diog. L. iii. 5. aliisque, ac præsertim Olympiodoro in Vit. Plat. qui eum ideo hujusce dialogi scenam hic loci posuisse dicit, ἵνα μήτε Διονύσιος ὁ διδάσκαλος ἄμοιρος εἴη τῆς παρὰ Πλάτωνι μνήμης. Forst.

τοῦ γραμματικοῦ] γραμματιστοῦ Ms.

ναι τὴν ἰδέαν καὶ πατέρων εὐδοκίμων, καὶ τούτων ἐραστάς. ἐτυγχανέτην οὖν δύο τῶν μειρακίων ἐρίζοντε, περὶ ὅτου δέ, οὐ σφόδρα κατήκουον· ἐφαινέσθην μέντοι ἢ περὶ Ἀναξαγόρου[b] ἢ περὶ Οἰνοπίδου ἐρίζειν· κύκλους γοῦν[c] γράφοντες[d] ἐφαινέσθην[e] καὶ ἐγκλίσεις τινὰς ἐμιμοῦντο τοῖν[f] χεροῖν ἐπικλίνοντε καὶ μάλ'[g] ἐσπουδακότε. κἀγώ, καθήμην γὰρ παρὰ τὸν ἐραστὴν τοῦ ἑτέρου αὐτοῖν· κινήσας οὖν αὐ-

CODICES TREDECIM,
𝔄ΓΘΞΠΣBCEF*u y e*.

[a] *γραμματικοῦ* ς.—[b] *ἀναξαγόρα* F.—[c] *γὰρ* Γ.—[d] *γράφειν* 𝔄ΘΠ.—[e] *ἐφαινέσθην* 𝔄ΘΠ, *ἐφαίνοντο γρ u*: *ἐφαίνεσθον* *ς.—[f] *ταῖν* Γ*ye* et corr Π.—[g] *μάλ'* Γ.—[h] *ποθ'*

citat. in Montefalc. Bibl. Coislinian. p. 219. Atque ita etiam legisse videtur Olympiodorus in l. l. Mihi quoque hæc lectio magis placet, quod vox ista, tum alibi apud Platonem, tum apud cæteros scriptores Atticos, grammatices elementa tradentem proprie designat, *γραμματικὸς* vero, quemlibet in genere hujusce artis peritum. Forst.

γραμματιστοῦ] E cod. allatum et a Forst. probatum non placet. Vix enim illi juvenes elementa cognovisse videntur. Beck.

καὶ τούτων ἐραστὰς] De Græco hoc pueros assectandi more, quem Athenis sub honesta amicitiæ specie liberis duntaxat hominibus concedebat Solon, vide Petit. Leg. Attic. l. vi. Tit. 5. Potter. Archæol. Græc. l. iv. c. 9. Menag. ad Diog. L. l. i. 55. aliosque item a Davisio ad Ciceron. Tusc. l. iv. 33. laudatos. Forst.

οὖν] Particula *οὖν* in narratione est vinculum, ut, 'Ergo aut adulta vitium propagine.' Horat. Ἐπιεικεστάτους ἰδέαν, *facie liberali:* dixit Terent. 'Bona forma,' etc. Duos autem peculiariter designari ostendit universæ orationis tractus. Serran.

Οἰνοπίδου] Minime desunt de Œnopide (licet se eum nescire fateatur Dacier) veterum testimonia. Constat enim ex Diodoro Siculo, Æliano, Plutarcho, Sexto Empirico, Stobæo, aliisque, Chium ipsum fuisse, Anaxagoræ fere æqualem, in Ægyptum migrasse, ibique cum sacerdotibus et astronomis versatum esse, et exinde talem tum geometriæ tum astronomiæ scientiam hausisse, ut nonnulla, eaque non exigui momenti, (de quibus vide Ælian. V. H. l. x. 7. Proclum in Euclid. p. 19. 75. 87.) in harum utraque excogitasse aut saltem pro suis venditasse diceretur. Pauca etiam Œnopidis dicta in Maximi Collectaneis leguntur. Forst.

ἐγκλίσεις τινὰς ἐμιμοῦντο] Nonnulla, ni fallor, huc spectantia tam de Anaxagora quam de Œnopide traduntur. Illi a Diog. L. l. ii. 9. hæc tribuitur sententia, *τὰ δ' ἄστρα κατ' ἀρχὰς μὲν θολοειδῶς ἐνεχθῆναι, ὥστε κατὰ κορυφὴν τῆς γῆς τὸν ἀεὶ φαινόμενον εἶναι πόλον, ὕστερον δὲ τὴν ἔγκλισιν λαβεῖν.* Causamque item inclinationis hujusce assignat apud Plutarch. de Plac. Philos. l. ii. 8. eam nempe fieri *ἐκ τοῦ αὐτομάτου*, atque *ἴσως ὑπὸ προνοίας, ἵνα ἃ μέν τινα ἀοίκητα γένηται, ἃ δὲ οἰκητὰ μέρη τοῦ κόσμου, κατὰ ψύξιν καὶ ἐκπύρωσιν καὶ εὐκρασίαν.* De Œnopide vero refert Diod. Sic. l. i. sub finem, eum in Ægypto *συνδιατρίψαντα τοῖς ἱερεῦσι καὶ ἀστρολόγοις μαθεῖν ἄλλα τε καὶ μάλιστα τὸν ἡλιακὸν κύκλον, ὡς λοξὴν μὲν ἔχει τὴν πορείαν* etc. Atque hoc, licet Pythagoras idem antea docuisset, is *ὡς ἰδίαν ἐπίνοιαν σφετερίζεται*, uti notat Plutarchus de Plac. Philos. l. ii. 12. Forst.

ἐφαίνεσθον καὶ ἐγκλίσεις τινὰς ἐμιμοῦντο] Uti nemo non continuo in *ἐφαίνεσθον* offendat, ita probemus necesse est illud interpretis: *quasdam sphæræ inclinationes.* Sphæræ certe mentio, nec temere a Ficino conficta videtur, et opportune fit, quandoquidem *περὶ τῶν μετεώρων* egisse hos pueros e sequentibus patet. Loco *ἐφαίνεσθον* scribendum *σφαῖρας* censeam, ut sensus sit: *videbantur autem de Anaxagora vel Œnopide disceptare: circulos enim sphæræ et inclinationes quasdam delineando imitabantur, manibus innixi et attenti admodum.* Heusd.

τὸν τῷ ἀγκῶνι ἠρόμην ὅ τί ποθ᾽[h] οὕτως ἐσπουδακότε τὼ μειρακίω εἴτην,[i] καὶ εἶπον Ἦ που μέγα τι[j] καὶ καλόν ἐστι περὶ ὅτου[k] τοσαύτην σπουδὴν[l] πεποιημένω ἐστόν. Ὁ δ᾽ εἶπε Ποῖον, ἔφη, μέγα καὶ καλόν; ἀδολεσχοῦσι μὲν οὖν[m] οὗτοι περὶ[n] τῶν μετεώρων καὶ φλυαροῦσι φιλοσοφοῦντες. Καὶ ἐγὼ θαυμάσας αὐτοῦ τὴν ἀπόκρισιν εἶπον Ὦ νεανία, αἰσχρὸν δοκεῖ σοι εἶναι τὸ φιλοσοφεῖν; ἢ τί οὕτω[p] χαλεπῶς λέγεις; II. iii. 284. Καὶ ὁ ἕτερος—πλησίον γὰρ καθήμενος ἐτύγχανεν αὐτοῦ, ἀντεραστὴς ὤν—ἀκούσας ἐμοῦ τε[q] ἐρομένου κἀκείνου ἀποκρινομένου, Οὐ πρὸς σοῦ γε, ἔφη, ὦ Σώκρατες, ποιεῖς τὸ καὶ[r] ἀνερέσθαι[s] τοῦτον εἰ αἰσχρὸν ἡγεῖται φιλοσοφίαν εἶναι.[t] ἢ οὐκ οἶσθα αὐτόν,[u] ὅτι τραχηλιζόμενος καὶ ἐμπιπλάμενος καὶ καθεύδων πάντα τὸν βίον διατετέλεκεν; ὥστε σὺ τί αὐτὸν ᾤου[v] ἀποκρινεῖσθαι[w] ἀλλ᾽[x] ἢ ὅτι αἰσχρόν ἐστι φιλοσοφία; Ἦν δὲ οὗτος μὲν τοῖν ἐρασταῖν περὶ μουσικὴν διατετριφώς, ὁ δ᾽ ἕτερος ὃν ἐλοιδόρει, περὶ γυμναστι-

Γ.—[i] ἤτην ς.—[j] μέγα τι ℭΘΠ : τὶ μέγα *ς.—[k] ὅτου ΘΠ : ὃ *ς.—[l] σπουδὴν om F.—[m] μὲν οὖν ℭΓΘΞΣBC, μὲν Πuye : οὖν ς.—[n] οὗτοι περὶ ℭΘΠ, οὗτοι μὲν περὶ pr B : οὗτοί γε περὶ *ς.—[p] τοιούτως Π.—[q] ἐμοῦ τε om Γ.—[r] καὶ om ΘCy et pr Ξ.—[s] ἀνερέσθαι ΘΠ : ἀνέρεσθαι ς.—[t] φιλοσοφίαν εἶναι ℭΘΠ : εἶναι φιλοσοφίαν *ς.—[u] τοῦτον ℭΘΠ.—[v] ὥστε σὺ τί αὐτὸν ᾤου ℭΘΠ : ὥστε τί σοι οἴει αὐτὸν *ς.—[w] ἀποκρινεῖσθαι ℭΘΠ : ἀποκρίνεσθαι *ς.—[x] ἀλλ᾽ ℭΘΠ : ἄλλο *ς.—[y] ἐρώμενον ΞΠΣBCuye

καὶ ὁ ἕτερος] Is, si locum Thrasylli supra memorati apud Diog. L. l. ix. 37. hactenus ab interpretibus male versum, recte intelligam, Democritus celebris iste philosophus Abderites fuisse ab eo conjicitur. Ita enim Thrasyllus, Εἴπερ οἱ Ἀντερασταὶ Πλάτωνος εἰσὶ, οὗτος ἂν εἴη ὁ παραγενόμενος ἀνώνυμος, τῶν περὶ Οἰνοπίδην καὶ Ἀναξαγόραν ἕτερος, ἐν τῇ πρὸς Σωκράτην ὁμιλίᾳ διαλεγόμενος περὶ φιλοσοφίας· ᾧ φησὶν ὡς πεντάθλῳ ἔοικε ὁ φιλόσοφος. Quæ verba huic homini, uti mox patebit, prorsus congruunt. FORST.

τραχηλιζόμενος] τραχηλίζω, *in cervicem supino, in collum resupino.* Alioqui significat etiam *obtorquere collum, obtorto collo trahere, angere, ut luctator luctatorem.* Et sic Diogenes Cynicus apud Diog. Laert. quum ὀλυμπιονίκην εἰς ἑταίραν πυκνότερον ἀτενίζοντα vidisset, inquit: ἴδε κριὸν ἀρειμάνιον, ὃς ὑπὸ τοῦ τυχόντος κορασίου τραχηλίζεται. Sic Philo de Vita Moys. lib. i. : τραχηλιζόμενοι ταῖς ἐπιθυμίαις, πάνθ᾽ ὑπομενοῦσι δρᾶν τε καὶ πάσχειν (acti libidine, tanquam collo obtorto). Sæpius vero τραχηλίζειν est genus solummodo exercitamenti: Plutarch. in Vita Anton. p. 296. ἐγυμνασιάρχει Ἀθηναίοις, καὶ διαλαμβάνων τοὺς νεανίσκους ἐτραχήλιζε. STUTZM.

καὶ ἐμπιμπλάμενος καὶ καθεύδων] Optime huic de vita athletarum observationi suffragatur Galenus, ὅλον γὰρ ἑωρῶμεν αὐτῶν τὸν βίον ἐν ταύτῃ τῇ περιόδῳ συστρεφομένων, ἢ ἐσθιόντων, ἢ πινόντων, ἢ κοιμωμένων, ἢ ἀποπατούντων, ἢ κυλινδουμένων ἐν κόνει τε καὶ πηλῷ. lib. ad Thrasyb. c. 37. At largam dudum similium de voracitate, somnolentia, hebetique athletarum ingenio testimoniorum messem collegerunt rei Gymnasticæ scriptores, aliique alibi. FORST.

ἀποκρίνεσθαι] Forsan ἀποκρινεῖσθαι. STEPH. At potius reponendum αὐτὸν ἂν ἀποκρίνεσθαι. MUDGE.

μουσικὴν] Passim apud antiquos sensu latiore et augustiore usurpatur, disciplinas omnes humaniores et quicquid demum menti excolendæ inservit, complec-

κήν. καί μοι ἔδοξε χρῆναι τὸν μὲν ἕτερον ἀφιέναι, τὸν ἐρωτώμενον,[y] ὅτι οὐδ' αὐτὸς προσεποιεῖτο περὶ λόγων ἔμπειρος εἶναι ἀλλὰ περὶ ἔργων, τὸν δὲ σοφώτερον[z] προσποιούμενον εἶναι διερωτῆσαι, ἵνα καὶ εἴ τι δυναίμην, παρ' αὐτοῦ ὠφεληθείην. εἶπον οὖν[a] ὅτι Εἰς κοινὸν μὲν τὸ ἐρώτημα ἠρόμην· εἰ δὲ σὺ οἴει τοῦδε κάλλιον ἀποκρινεῖσθαι,[b] σὲ ἐρωτῶ τὸ αὐτὸ ὅπερ καὶ τοῦτον, εἰ δοκεῖ σοι τὸ φιλοσοφεῖν καλὸν εἶναι ἢ οὔ.

I. 133. Σχεδὸν οὖν ταῦτα λεγόντων ἡμῶν ἐπακούσαντε τὼ μειρακίω
II. iii. 285. ἐσιγησάτην, καὶ αὐτὼ παυσαμένω τῆς ἔριδος ἡμῶν ἀκροαταὶ ἐγενέσθην. καὶ ὅ τι μὲν οἱ ἐρασταὶ ἔπαθον, οὐκ οἶδα, αὐτὸς δ'[c] οὖν ἐξεπλάγην· ἀεὶ[d] γάρ ποτε ὑπὸ τῶν νέων τε καὶ καλῶν ἐκπλήττομαι. ἐδόκει μέντοι[e] μοι[f] καὶ

et pr 𝔄, ἐρώμενον EF: ἐρόμενον *ς.—[z] σοφώτατον 𝔄ΘΠ.—[a] γοῦν ΘΠ.—[b] ἀποκρινεῖσθαι Θ et corr 𝔄, ἀποκρίνεσθαι Π, ἂν ἀποκρίνεσθαι *ς.—[c] γ' 𝔄ΘΠ.—[d] ἀεὶ Θ:

tens. Sic Aristoph. in Equit. 188. οὐδὲ μουσικὴν ἐπίσταμαι Πλὴν γραμμάτων. ubi notat Schol. ὅτι μουσικὴν τὴν ἐγκύκλιον παιδείαν φησί· γράμματα δὲ τὰ πρῶτα στοιχεῖα. Hinc Plato, l. ii. de Rep. omnem παιδείαν in duas partes dividit, ἔστι δέ που ἡ μὲν ἐπὶ σώμασι, γυμναστική· ἡ δ' ἐπὶ ψυχῇ, μουσική. Et similiter, de Leg. p. 795. Eodemque sensu Lacedæmonii ab Æliano dicuntur μουσικῆς ἀπείρως ἔχειν. V. H. l. xii. 50. Forst.

τὸν ἐρόμενον] Ita omnes Edd. et Ficin. qui vertit, *quem prius interrogaveram.* At nuspiam alibi, quod sciam, vox ista sensu passivo accipitur. Legendum forsan τὸν ἐῤῥωμένον, quod athletam optime denotet, et rivali ejus τῷ σοφωτέρῳ elegantissime opponatur. Mudge. Similiter quoque Dacier, nisi quod nullam hic, quod miror, emendationem proponat. Forst.

κάλλιον ἂν ἀποκρίνεσθαι] Forsan ἀποκρίνασθαι, ut sit ἀποκρίνασθαι ἂν pro ἀποκρινεῖσθαι. Steph. At hujusmodi mutatione nihil opus est. Attici enim particulam ἂν non minus cum præsenti quam cum aoristo conjungunt. Forst.

φιλοσοφεῖν] Cicero, quod Plato dicit, de Rep. l. v. beatas fore respublicas, ἐὰν οἱ φιλόσοφοι βασιλεύσωσιν, ἢ οἱ βασιλεῖς καὶ δυνάσται φιλοσοφήσωσι γνησίως τε καὶ ἱκανῶς, καὶ τοῦτο εἰς ταυτὸν ξυμπέσῃ, δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία—sic vertit: 'si aut docti et sapientes homines eas regerent, omne suum studium in doctrina et sapientia collocassent: hanc conjunctionem videlicet potestatis ac sapientiæ saluti civibus esse posse.' Cui loco similis est ille in Platonis epistola 7. ad Dionis propinquos: κακῶν οὖν οὐ λήξειν τὰ ἀνθρώπινα γένη, πρὶν ἂν ἢ τὸ τῶν φιλοσοφούντων ὀρθῶς γε καὶ ἀληθῶς γένος ἐς ἀρχὰς ἔλθῃ καὶ πολιτικὰς, ἢ τὸ τῶν δυναστευόντων ἐν ταῖς πόλεσιν ἔκ τινος μοίρας θείας ὄντως φιλοσοφήσῃ. Stutzm.

ὑπὸ τῶν νέων τε καὶ καλῶν ἐκπλήττομαι] Ex hoc aliisque similibus apud Platonem locis nonnulli παιδεραστίαν Socrati intentare conati sunt. Et fatendum quidem est ipsum, quo facilius adolescentulos ab istorum commercio, qui eos revera studebant corrumpere, segregaret, suæque disciplinæ adjungeret, fictam nonnunquam hujusmodi personam induisse, et verbis tenus procacioribus horum hominum blanditiis pro more gentis et sæculi sui plus æquo usum fuisse. Eum vero istius vitii immunem prorsus fuisse, unicus Xenophontis locus ad probandûm videtur sufficere, πολλάκις γὰρ ἔφη μὲν ἄν τινος ἐρᾶν, φανερὸς δ' ἦν οὐ τῶν τὰ σώματα πρὸς ὥραν, ἀλλὰ τῶν τὰς ψυχὰς πρὸς ἀρετὴν εὖ πεφυκότων ἐφιέμενος. Mem. Socr. l. iv. c. 1. 2. Huic

οὐδεμία μηχανὴ] Sc. ἐστὶ, cum inf. *fieri non potest ut.* Sic Phædo p. 86. A. οὐδεμία γὰρ μηχανὴ ἂν εἴη τὴν μὲν λύραν ἔτι εἶναι τὴν δὲ ἁρμονίαν ἀπολωλέναι. Buttm.

οὔτε σῶμα] Sic Cl. Vat. Ven. Vulgo τὸ σῶμα. Vid. ad Meno. 7. Buttm. οὔτε σῶμα Ms. Bodl. Etw.

συμβαίνειν] Alias verbo εἶναι ita conjungitur, ut συμβαίνει εἶναι vel συμβαίνει ὢν per ubertatem quandam orationis sit loco solius ἐστί. Sed interdum etiam solum συμβαίνειν est loco verbi εἶναι. Vid. Heind. ad Gorg. 77. Buttm.

§. 53. ἔστιν ἄνθρωπος] ἔστιν ὁ ἄνθρωπος Ms. Bodl. Etw.

τοῦ αὐτοῦ] Schleierm. emendat αὐτοῦ τοῦ αὐτοῦ, quo fortasse non opus. Sed pro αὐτὸ ἕκαστον, quod ex re ipsa est certissimum, quodque Latine reddit Fic. non modo Stobæus, sed codd. Bekkero collati omnes, αὐτὸν ἕκαστον. Steph. primus correxit. Buttm.

αὐτὸ ἕκαστον] Ald. Bas. 1. 2. Stob. et Venet. αὐτὸν ἕκαστον. Attamen Ficinus: *ipsum unumquodque*. Ast.

ΑΛ. Οὐ δῆτα.

ΣΩ. Οὐκοῦν καλῶς ἔχει οὕτω νομίζειν, ἐμὲ καὶ σὲ προσομιλεῖν ἀλλήλοις τοῖς λόγοις χρωμένους τῇ ψυχῇ πρὸς τὴν ψυχήν;

ΑΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Τοῦτ' ἄρ'[z] ἦν ὃ καὶ ὀλίγῳ[a] ἔμπροσθεν εἴπομεν, ὅτι Σωκράτης Ἀλκιβιάδῃ διαλέγεται λόγῳ[b] χρώμενος, οὐ πρὸς τὸ[c] σὸν πρόσωπον, ὡς ἔοικεν, ἀλλὰ πρὸς τὸν Ἀλκιβιάδην ποιούμενος τοὺς λόγους· τοῦτο δ' ἐστὶν ἡ ψυχή.

ΑΛ. Ἔμοιγε δοκεῖ.

§. 54. ΣΩ. Ψυχὴν ἄρα ἡμᾶς κελεύει γνωρίσαι ὁ ἐπιτάττων γνῶναι ἑαυτόν.

ΑΛ. Ἔοικεν. II. 131.

ΣΩ. Ὅς τις ἄρα τῶν[d] τοῦ σώματός τι[e] γιγνώσκει, τὰ αὑτοῦ ἀλλ' οὐχ αὑτὸν ἔγνωκεν.

ΑΛ. Οὕτως.

ΣΩ. Οὐδεὶς ἄρα τῶν ἰατρῶν ἑαυτὸν γιγνώσκει, καθ' ὅσον ἰατρός, οὐδὲ τῶν παιδοτριβῶν, καθ' ὅσον παιδοτρίβης.

ΑΛ. Οὐκ ἔοικεν.

ΣΩ. Πολλοῦ ἄρα δέουσιν οἱ γεωργοὶ καὶ οἱ ἄλλοι δημιουργοὶ γιγνώσκειν ἑαυτούς. οὐδὲ γὰρ τὰ ἑαυτῶν οὗτοί II. iii. 363. γε, ὡς ἔοικεν, ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτῶν κατά γε τὰς

om ΣΥC et pr Ξ.—[z] ἄρ' Γ.—[a] ὀλίγον EFς.—[b] λόγω om 𝔄Δ.—[c] τὸν pr Π cum ς.—[d] τι τῶν rc Γ, τὰ Ξ: expungit Schleiermacherus.—[e] τι add Stobæus.—[f] ἃς om

ὀλίγον] ὀλιγῷ Ms. Bodl. [et Stob.] Etw.

πρὸς τὸν Ἀλκιβιάδην] Legendum censeo πρὸς τὸν Ἀλκιβιάδην αὐτόν. Faber.

ἔμοιγε] Stob. ἔμοιγ' οὖν. Buttm.

§. 54. γνωρίσαι] Stob. γνωρίζειν. Pro, ὅστις ἄρα τῶν τοῦ σώματος γινώσκει, Stob. τῶν τοῦ σώματός τι γιν. Steph. quoque notat in margine: 'Vel τι articulo τῶν addendum, vel in τὰ mutandum esse videtur.' Prius verisimilius est, quod et Stobæus confirmat. Pro, οὐδὲ γὰρ τὰ ἑαυτῶν οὗτοί γε, ὡς ἔοικεν, ἀλλ', Stob. ὡς ἔοικε, γινώσκουσιν, ἀλλ'. Pro, ἀληθῆ λέγεις, Stob. ἀ. λέγει. Pro, Ὅστις δὲ σοῦ τῆς ψυχῆς ἐρᾷ; ut Stephanus interpunxit, Ficinus (ut jam idem Steph. monuit) absque interrogatione legit, distinguens post σοῦ, et ibi subaudiens ἐρᾷ. Apud Stob. est post σοῦ incisum. Pro, ἴῃς, Stob. ἴῃ. Pro, παραμένων, Stob. περιμένων. Gottl.

τὶ] Insertum e Stob. præeunte Schleiermachero, qui simul jubet inducere articulum τῶν, quod eo servato unum pereat de gradatione in superioribus significata. Buttm.

τῶν ἑαυτῶν] Ut infra τῶν ἑαυτοῦ. Adverbium πορρωτέρω negligentius adjectum, pro τὰ πορρωτέρω—γιγνώσκουσιν, sicut infra πορρωτέρω pro τὰ πορρωτέρω θεραπεύει. Nolim enim hic, ἃς omittens quod, per sphalma opinor, deest in Cl. Vat. Ven. jungere πορρωτέρω ἔχουσιν. Buttm.

τέχνας ἅς[f] ἔχουσι· τὰ γὰρ τοῦ σώματος γιγνώσκουσιν, οἷς τοῦτο θεραπεύεται.

ΑΛ. Ἀληθῆ λέγεις.

ΣΩ. Εἰ ἄρα σωφροσύνη ἐστὶ τὸ ἑαυτὸν γιγνώσκειν, οὐδεὶς τούτων σώφρων κατὰ τὴν τέχνην.

ΑΛ. Οὔ μοι δοκεῖ.

ΣΩ. Διὰ ταῦτα δὴ καὶ βάναυσοι αὗται αἱ τέχναι δοκοῦσιν εἶναι καὶ οὐκ ἀνδρὸς ἀγαθοῦ μαθήματα.

ΑΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Οὐκοῦν πάλιν ὅς τις αὖ σῶμα θεραπεύει, τὰ[g] ἑαυτοῦ ἀλλ' οὐχ ἑαυτὸν[h] θεραπεύει;

ΑΛ. Κινδυνεύει.

ΣΩ. Ὅς τις δέ γε τὰ χρήματα, οὔθ' ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ, ἀλλ' ἔτιποῤῥωτέρω τῶν ἑαυτοῦ;

ΑΛ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Οὐ τὰ αὑτοῦ ἄρ'[i] ἔτι[j] πράττει ὁ χρηματιστής.

ΑΛ. Ὀρθῶς.

§. 55. ΣΩ. Εἰ ἄρα τις γέγονεν ἐραστὴς τοῦ Ἀλκιβιάδου σώματος, οὐκ Ἀλκιβιάδου ἠράσθη[k] ἀλλά τινος τῶν Ἀλκιβιάδου.

ΑΛ. Ἀληθῆ λέγεις.

ΣΩ. Ὅς τις δέ σου[l] τῆς ψυχῆς ἐρᾷ;[m]

ΑΛ. Ἀνάγκη φαίνεται ἐκ τοῦ λόγου.

II. iii. 364. ΣΩ. Οὐκοῦν ὁ μὲν τοῦ σώματός σου ἐρῶν, ἐπειδὴ λήγει ἀνθοῦν, ἀπιὼν οἴχεται;

𝔄ΔΠ.—[g] τὰ 𝔄ΔΠ : τὸ *ς.—[h] οὐκ αὑτὸν 𝔄ΔΠ.—[i] ἄρ' Γ.—[j] ἔτι om F.—[k] ἀλκιβιάδου ἠράσθη 𝔄ΔΠ : Ἀλκιβιάδου ἄρα ἠράσθη *ς.—[l] σου om Ξ.—[m] ἐρῶν om pr Π.

σωφροσύνη ἐστὶ] *σωφροσύνην λέγει τὴν φρόνησιν ὡς ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττω ἐπιστρέφουσαν· καὶ ἄλλως ὅτι ἀντιστρέφουσιν ἀλλήλαις αἱ πολιτικαὶ ἀρεταί.* Schol. in marg. C. V. Recte interpretatur Schol. *τὴν σωφροσύνην*, quæ alias circa moderandas voluptates versatur, Phædo c. 13. Eodem fere sensu vocem *σωφροσ.* a Socrate usurpatam esse dicit Xenoph. Mem. iii. 9. 4. Nurnb.

βάναυσοι τέχναι] *Sellulariæ artes*, illiberales, sordidæ. v. Perizon. ad Ælian. V. H. vi. 6. Gottl.

§. 55. *ὅστις δὲ σοῦ*] Absque interr. legit et Fic. distinguens post *σοῦ*, et ibi subaudiens *ἐρᾷ*. Steph.

οὐκοῦν ὁ μὲν τοῦ σώματός σου ἐρῶν, κ. τ. λ.] Similiter Sympos. p. 183. E. *Ἅμα γὰρ τῷ τοῦ σώματος ἄνθει λήγοντι, οὗπερ ἤρα, οἴχεται ἀποπτάμενος, πολλοὺς λόγους καὶ ὑποσχέσεις καταισχύνας· ὁ δὲ τοῦ ἤθους χρηστοῦ ὄντος ἐραστὴς διὰ βίου μένει, ἅτε μονίμῳ συντακείς.* Juncus apud Stob. p. 588. 2. *Ὅτι τὸ μὲν νέον ὥρα τις καὶ ἀκμὴ κατακοσμεῖν ἔοι-*

ΑΛ. Φαίνεται.

ΣΩ. Ὁ δέ γε τῆς ψυχῆς ἐρῶν οὐκ ἄπεισιν, ἕως ἂν ἐπὶ τὸ βέλτιον ἴῃ;[n]

ΑΛ. Εἰκός γε.

ΣΩ. Οὐκοῦν ἐγώ εἰμι ὁ[o] οὐκ ἀπιὼν ἀλλὰ παραμένων λήγοντος τοῦ σώματος, τῶν ἄλλων ἀπεληλυθότων;

ΑΛ. Εὖ γε ποιῶν, ὦ Σώκρατες· καὶ μηδὲ[p] ἀπέλθοις.[q]

ΣΩ. Προθυμοῦ τοίνυν ὅτι κάλλιστος εἶναι.

ΑΛ. Ἀλλὰ προθυμήσομαι.

ΣΩ. Ὡς οὕτω γέ σοι ἔχει· οὔτ' ἐγένετο,[r] ὡς ἔοικεν, Ἀλκιβιάδῃ τῷ Κλεινίου ἐραστὴς οὔτ' ἔστιν ἀλλ' ἢ[s] εἷς[t]

—[n] εἴη EF, ἴῃς ς.—[o] ὁ om Π.—[p] μὴ 𝔄ΔΠ.—[q] ἀπέλθοις 𝔄ΔΞΣΥBC, ἀπέλθουσι Π: ἀπέλθῃς *ς.—[r] ἐγένεθ' 𝔄.—[s] ἢ om 𝔄ΔΠ.—[t] εἷς om F.—[u] οὗτοι pr Ξ.—[v] σμικρὸν

κεν, τό, τε τοῦ σώματος ἄνθος λήγει ἅμα τῷ χρόνῳ, τὸ δὲ ἀληθὲς κάλλος, ὅπερ ἐκ θείας κοινωνίας ἔσχε τὴν ἀποῤῥοὴν καὶ ἦλθεν ἐπὶ τινάς· τοῦτο δὲ οὔτε πόνος ἢ λιμὸς ἢ ἀμελεία τις, ἀλλὰ μὴν οὐδ' ὁ πολὺς χρόνος δύναται ἀμαυρῶσαι, συγγενόμενον δὲ ὁτῳοῦν καὶ συντραφὲν, οὐκ ὤφθη ποτε θᾶττον ἀπαλλαγὲν τῆς ἐκείνου ψυχῆς. Nec prætermittendus est Xenoph. Sympos. viii. §. 14. Ἣν δὲ καὶ ἀμφότεροι στέρξωσι, τὸ μὲν τῆς ὥρας ἄνθος ταχὺ δήπου παρακμάζει, ἀπολειπόντος δὲ τούτου, ἀνάγκη καὶ τὴν φιλίαν συναπομαραίνεσθαι. ἡ δὲ ψυχὴ, ὅσονπερ ἂν χρόνον ἴῃ ἐπὶ τὸ φρονιμώτερον, καὶ ἀξιεραστοτέρα γίγνεται. Sed huic loco labes insidet, quæ obiter delenda videtur. Si tenendum est ἀμφότεροι, referendum est ad amatorem et amatum. At vero nullam sic magnopere vim habeat sententia. Præsertim si consideramus quæ hunc locum proxime antecedunt: φιλεῖν γε μὴν τῶν μὲν τὸ ἦθος ἀγαμένων, ἀνάγκη ἰδία καὶ ἐθελουσία καλεῖται· τῶν δὲ τοῦ σώματος ἐπιθυμούντων πολλοὶ μὲν τοὺς τρόπους μέμφονται, καὶ μισοῦσι τὸν ἐρώμενον. Legendum conjeci ἀμφότερον. Sic τὸ ἀμφότερον στέργειν apprime opponitur τῷ ἦθος ἄγασθαι et τῷ σώματος ἐπιθυμεῖν. Similiter hæc distinguit Plato Sympos. 209. B. Τά τε οὖν σώματα τὰ καλὰ μᾶλλον ἢ τὰ αἰσχρὰ ἀσπάζεται, ἅτε κυῶν· καὶ ἐὰν ἐντύχῃ ψυχῇ καλῇ καὶ γενναίᾳ καὶ εὐφυεῖ, πάνυ δὴ ἀσπάζεται τὸ ξυναμφότερον. Cæterum qua venustate his locis de formæ pulcritudine usurpatur ἄνθος et ἀνθεῖν, eadem usurpatur ἀπανθεῖν Aristæneto ii. 1. ἀνανθεῖ γὰρ καὶ ἀπηνθηκότι σώματι οὐ πέφυκε προσιζάνειν ὁ Ἔρως· οὗ δὲ ἂν εὐανθές τε καὶ εὐῶδες ᾖ, ἐνταῦθα καὶ ἐνιζάνει καὶ μένει. Ubi non sine veri specie Pauw. εὐῶδες in εὐειδὲς mutandum censet. Sed vulgatam tuetur Platonis auctoritas Sympos. 196. B. Ἀνανθεῖ γὰρ καὶ ἀπηνθηκότι καὶ σώματι καὶ ψυχῇ, καὶ ἄλλῳ ὁτῳοῦν, οὐκ ἐνίζει Ἔρως· οὗ δ' ἂν εὐανθής τε καὶ εὐώδης τόπος ᾖ, ἐνταῦθα καὶ ἵζει καὶ μένει· e quo loco illustrandus est Aristænetus. Atque hoc quidem sensu ἀπανθεῖν restituendum Luciano de Parasito t. ii. p. 469. Ἀμέλει πολλὰς ἄν σοι δείξαιμι, μορφῆς μὲν εὖ ἡκούσας, τὰ δ' ἄλλα αἰσχυνούσας τὸ κάλλος, ὡς καὶ μόνον φθεγξαμένων ἀποθανεῖν αὐτὸ καὶ ἀπομαραίνεσθαι. Uti enim durissimum est, neque ullo modo tolerari potest ἀποθανεῖν, ita unice se commendat ἀπανθεῖν. Heusd.

εἴη] Ita Bas. 1. 2. ἴῃ Ms. Bodl. Etw.

ἴῃ] Hanc librorum lectionem solus Steph. correxerat ita, ἴῃς: cui assentiebar olim. Nunc ἴῃ ad animum relatum concinnius esse agnosco, propter superius λήγει ἀνθοῦν ad corpus. Buttm.

εὖ γε ποιῶν] Cf. Heind. ad Theæt. §. 96. Ast.

μηδὲ] Sic codd. plur. nisi quod Cl. Vat. Ven. dant μὴ, per correctionem, opinor, ejus cui καὶ μηδὲ displiceret. Sed καὶ est mera copula, in μηδὲ autem latet *etiam*. Optativus autem hic est vere optantis, non jubentis. Buttm.

μόνος, καὶ οὗτος[u] ἀγαπητός, Σωκράτης ὁ Σωφρονίσκου καὶ Φαιναρέτης.

ΑΛ. Ἀληθῆ.

ΣΩ. Οὐκοῦν ἔφησθα σμικρὸν[v] φθῆναι[w] με προσελθόντα σοι, ἐπεὶ πρότερος ἄν μοι προσελθεῖν, βουλόμενος πυθέσθαι διότι μόνος οὐκ ἀπέρχομαι;[x]

ΑΛ. Ἦν γὰρ οὕτως.

ΣΩ. Τοῦτο τοίνυν αἴτιον, ὅτι μόνος ἐραστὴς ἦν σός, οἱ
II. iii. 365. δ' ἄλλοι τῶν σῶν· τὰ δὲ σὰ λήγει ὥρας, σὺ δ' ἄρχει ἀν-
II. 132. θεῖν. [§. 56.] Καὶ νῦν γε ἂν μὴ διαφθαρῇς ὑπὸ τοῦ
Ἀθηναίων δήμου καὶ αἰσχίων γένῃ, οὐ μή σε ἀπολίπω.[y] τοῦτο γὰρ δὴ μάλιστ'[z] ἐγὼ φοβοῦμαι, μὴ δημεραστὴς[a] ἡμῖν γενόμενος[b] διαφθαρῇς· πολλοὶ γὰρ ἤδη κἀγαθοὶ αὐτὸ πεπόνθασιν Ἀθηναίων. εὐπρόσωπος γὰρ ὁ τοῦ μεγαλήτορος δῆμος Ἐρεχθέως· ἀλλ' ἀποδύντα χρὴ αὐτὸν θεάσασθαι. εὐλαβοῦ οὖν τὴν εὐλάβειαν ἣν ἐγὼ λέγω.

ΑΛ. Τίνα;

ΣΩ. Γύμνασαι πρῶτον, ὦ μακάριε, καὶ μάθε ἃ δεῖ μαθόντα ἰέναι ἐπὶ τὰ τῆς πόλεως, πρότερον δὲ μή, ἵν'[c] ἀλεξιφάρμακα ἔχων ἴῃς καὶ μηδὲν πάθῃς δεινόν.

ΑΛ. Εὖ μοι δοκεῖς λέγειν, ὦ Σώκρατες· ἀλλὰ πειρῶ ἐξηγεῖσθαι ὅν τιν' ἂν[d] τρόπον ἐπιμεληθεῖμεν ἡμῶν αὐτῶν.

ΣΩ. Οὐκοῦν τοσοῦτον μὲν ἡμῖν εἰς τὸ πρόσθε[e] πεπέραν-

𝔄ΓΔΠ: μικρὸν *ς.—[w] ὀφθῆναι E, ἐφθῆναι F.—[x] ἐπέρχομαι Δ.—[y] ἀπολείπω Eς.—[z] μάλιστ' Γ.—[a] δήμ' ἐραστης 𝔄.—[b] ἡμῖν γενόμενος 𝔄ΔΠ: γενόμενος ἡμῖν *ς.—[c] ἵν' Γ.—[d] ἂν libris deest.—[e] πρόσθε Γ.—[f] φοβούμεθα 𝔄ΔΠ.—[g] σφαλέντος Υ.—

ἀγαπητὸς] Lepide utitur Socrates dictione Homerica de filio unico, Il. B. 365. de Telemacho, *μοῦνος ἐὼν ἀγαπητός*. Conf. Demosth. Mid. 45. et ibi Spald. BUTTM.

ἐπεὶ] Nota sermonem obliquum continuatum per alteram propositionem, quæ pendet a conjunctione ἐπεί. Sermo rectus ex Alcibiadis persona est, *ἔφθης προσελθών μοι, ἐπεὶ πρότερος ἂν προσῆλθόν σοι*. BUTTM.

§. 56. ἀπολείπω] ἀπολίπω. Ms. Bodl. ETW.

δῆμος Ἐρεχθ.] Verba sunt Homeri ex Iliad. B. 547. *Δῆμος Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' Ἀθήνη Θρέψε*. v. quæ notavit Clark. ad h. l. Mentionem facit hujus loci Athen. xi. p. 506. *τὸν Ἀθηναίων δῆμον εἰκαῖον εἴρηκε* (Plato) *κριτὴν εὐπρόσωπον*. et paullo post: *καὶ τὸν Ἀθηναίων δῆμον εὐπρόσωπον μὲν εἶναι, δεῖν δ' αὐτὸν ἀποδύσαντας θεωρεῖν*. GOTTL.

γύμνασαι] Ficinus vertit, *exue illum:* idque retulit ad δῆμον εὐπρόσωπον. Similis locus in Charmid. t. v. p. 109. *φαίνεται—εὐπρόσωπος—εἰ ἐθέλει ἀποδῦναι, δόξει σοι ἀπρόσωπος εἶναι*. FAEHSE.

γύμνασαι πρῶτον] Vid. Casaubon. ad Pers. Satyr. iv. 15. p. 329. AST.

ται· ὃ γὰρ ἐσμέν, ἐπιεικῶς ὡμολόγηται. ἐφοβούμεθα[f] δὲ μὴ τούτου σφαλέντες[g] λάθωμεν ἑτέρου τινὸς ἐπιμελόμενοι,[h] ἀλλ' οὐχ ἡμῶν.

ΑΛ. Ἔστι ταῦτα.

ΣΩ. Καὶ μετὰ τοῦτ' ἤδη τῆς[i] ψυχῆς ἐπιμελητέον καὶ εἰς τοῦτο βλεπτέον.

ΑΛ. Δῆλον. II. iii. 366.

ΣΩ. Σωμάτων δὲ καὶ χρημάτων τὴν ἐπιμέλειαν ἑτέροις παραδοτέον.

ΑΛ. Τί μήν;

§. 57. ΣΩ. Τίν'[j] οὖν ἂν τρόπον γνοίημεν αὐτὰ ἐναργέστατα; ἐπειδὴ τοῦτο γνόντες, ὡς ἔοικε, καὶ[k] ἡμᾶς αὐτοὺς γνωσόμεθα. ἆρα πρὸς θεῶν εὖ λέγοντος οὗ νῦν δὴ[l] ἐμνήσθημεν τοῦ Δελφικοῦ γράμματος οὐ ξυνίεμεν;[m]

ΑΛ. Τὸ ποῖόν τι[n] διανοούμενος λέγεις, ὦ Σώκρατες;

ΣΩ. Ἐγώ σοι φράσω, ὅ γε ὑποπτεύω λέγειν καὶ ξυμβουλεύειν ἡμῖν τοῦτο τὸ γράμμα. κινδυνεύει γὰρ οὐδὲ

[h] ἐπιμελόμενοι 𝔄ΔΞΠΣΥBC: ἐπιμελούμενοι *ς.—[i] ἤδη τῆς 𝔄ΔΠ: δὲ ὅτι *ς.—[j] τίνες Π.—[k] καὶ om 𝔄ΔΠ.—[l] δὴ νῦν EFς.—[m] ξυνίεμεν 𝔄ΔΠ: ξύνισμεν *ς.—

πεπέρανται] Stob. πεπέραται. Rectius. Gottl. Male. Buttm.

γὰρ] Inserta more Græco ei ipsi sermoni, qui introducitur illo τοσοῦτον. V. Gramm. §. 136. ubi de voce γάρ. Buttm.

σφαλέντες] Vind. σφαλέντος. Mox pro δὴ νῦν, Ven. νῦν δὴ, quod idem est. Vid. Heind. ad Charmid. p. 67. Ast.

ἐπιμελούμενοι] Ita Ms. Bodl. pro ἐπιμελόμενοι. Etw.

καὶ μετὰ τοῦτο δὲ] Bekk. cum Clark. Vát. Ven. καὶ μετὰ τοῦτο ἤδη τῆς ψυχῆς. Quod satisfacere tamen non potest. Nam quid est καὶ μετὰ τοῦτο, nisi sequente ὅτι refertur ad ὡμολόγηται? Neque locus est copulæ καὶ, nisi quod inde pendet jam comprehensum est in illo πεπέρανται. Sane ὅτι τῆς ψυχῆς ἐπιμελητέον, καὶ εἰς τοῦτο βλεπτέον in superioribus diserte non est dictum. Commode tamen hæc et proxima aliquatenus referuntur ad totum §. 54. argumentum. Sed καὶ—δὲ non est hujus loci, pro quo malim καὶ—δή. Buttm.

§. 57. αὐτὰ] Hoc αὐτὰ non habet ad quod commode referatur. Quare recte, opinor, Schleierm. legi jubet αὐτὸ, ut cum superiori εἰς τοῦτο referatur ad animum. Eoque ducit illud etiam quod in tribus opt. mox omisso καὶ legitur ἔοικεν, ἡμᾶς—: bene opinor, τοῦτο (τὴν ψυχὴν) γνόντες, ἡμᾶς αὐτοὺς γν. Buttm.

τοῦ] Articulus τοῦ videtur debere hinc abesse, quum præcedat οὗ: talem tamen ejus sive usum sive abusum habemus et alibi apud hunc scriptorem. Steph.

ξυνίεμεν] Sic tribus opt. addicentibus nunc legitur loco vulgati olim ξύνισμεν, quod per sensum non satis aptum in solite etiam structum est. Nusquam enim invenitur σύνοιδα ἐκείνου ποιοῦντος, sed σύνοιδα ἐκείνῳ ποιοῦντι vel σύνοιδα ὅτι ἐκεῖνος ποιεῖ.—Subjecta autem Alcibiadis interrogatio male vulgo distinguitur ita: Τὸ ποῖον; τί διαν. Scribendum Τὸ ποῖόν τι διανοούμενος. Sophist. p. 240. C. Πῇ καὶ τὸ ποῖόν τι φοβούμενος οὕτω λέγεις; et ibid. p. 217. A. Τί δὲ μάλιστα καὶ τὸ ποῖόν τι περὶ αὐτῶν διαπορηθεὶς ἐρέσθαι διενοήθης; Buttm.

πολλαχοῦ[o] εἶναι παράδειγμα αὐτοῦ, ἀλλὰ κατὰ τὴν ὄψιν μόνον.

ΑΛ. Πῶς τοῦτο λέγεις;

ΣΩ. Σκόπει καὶ σύ. εἰ ἡμῶν τῷ ὄμματι ὥς περ ἀνθρώπῳ ξυμβουλεύων εἶπεν[p] ἰδὲ σαυτόν, πῶς ἂν[q] ὑπελάβομεν τί παραινεῖν; ἆρ'[r] οὐχὶ εἰς τοῦτο βλέπειν,[s] εἰς ὃ βλέπων ὁ[t] ὀφθαλμὸς ἔμελλεν αὑτὸν ἰδεῖν;

ΑΛ. Δῆλον.

ΣΩ. Ἐννοῶμεν δή, εἰς τί βλέποντες τῶν ὄντων ἐκεῖνό τε ὁρῶμεν ἅμ'[u] ἂν καὶ ἡμᾶς αὐτούς;

ΑΛ. Δῆλον δή, ὦ Σώκρατες, ὅτι εἰς κάτοπτρά τε καὶ τὰ τοιαῦτα.

II. iii. 367. ΣΩ. Ὀρθῶς λέγεις. οὐκοῦν καὶ τῷ ὀφθαλμῷ ᾧ ὁρῶμεν ἔνεστί[v] τι[w] τῶν τοιούτων;

ΑΛ. Πάνυ γε.

ΣΩ. Ἐννενόηκας[x] οὖν ὅτι τοῦ ἐμβλέποντος εἰς τὸν ὀφθαλμὸν τὸ[y] πρόσωπον ἐμφαίνεται ἐν τῇ τοῦ καταντικρὺ
II. 133. ὄψει ὥς περ ἐν κατόπτρῳ, ὃ δὴ καὶ κόρην[z] καλοῦμεν, εἴδωλον ὄν τι[a] τοῦ ἐμβλέποντος;

ΑΛ. Ἀληθῆ λέγεις.

[n] τί om Γ.—[o] πολλοῦ pr Ξ.—[p] εἰπεῖν 𝔄ΔΠ.—[q] ἂν om Π.—[r] ἆρ' Γ.—[s] βλέπει ΣΥC et pr Γ.—[t] ὁ add 𝔄Δ.—[u] ἅμ' Γ.—[v] ἔνεστι ΔΠF et corr Γ: ἕν ἐστι ς.—[w] τι add Wolfius.—[x] ἐννενόημαι F.—[y] τοῦ om pr Ξ.—[z] κόρην 𝔄ΔΠ et mg F: κορυφὴν *ς.

ἕν ἐστι τῶν τοιούτων] 'Legendum censemus ἔνεστι τι τῶν τοιούτων, aut certe ἕν ἐστί τι τῶν τοιούτων. Vulgatum suspectum nobis fecit bene loquentium consuetudo.' Wolfius in Miscell. Litterar. p. 104. præeunte Ficino. Apparet virum doctum diffisum fuisse isti ἓν pro τί. Sed certa quædam hujus generis obversantur animo Socratis, ut ipsum speculum, aquæ superficies, pupilla. Earum autem unam speciem recte dici posse ἓν τῶν κατοπτροειδῶν nemo dubitabit. Sed illud dubito, an si dixisset Socrates καὶ τῷ ὀφθαλμῷ ἓν vel ἕν τί ἐστι τῶν τοιούτων, Alcibiades dativum hunc, qui commodi esse videtur, neque tamen esse debet, statim ita intellexisset, ut respondere potuisset Πάνυ γε. Quod si tamen credimus, acquiescendum videtur in vulgata: nam illud ἔνεστι, quod præbent cod. Clark. et alii nonnulli, ex illo ἓν ἐστι sponte nasci debuit. Sin minus, cum Bekk. adoptanda prior Wolfii correctio, ἔνεστί τι, aut etiam legendum: καὶ ἐν sive κἂν τῷ ὀφθαλμῷ—ἕν ἐστι τ. τ. Schleiermachero verba hæc ᾧ ὁρῶμεν sejuncta a superioribus *pupillam* significare videntur: quod absque inserta voce ἐκεῖνο fieri posse non puto. Et sic demum dativus iste commodi καὶ τῷ ὀφθαλμῷ vere otiosus esset, quod in altera ratione de his ᾧ ὁρῶμεν illi videbatur. Verum adjecta hæc puto ad oppositionem speculi vulgaris. Plenius: *ille ipse oculus, quo videmus, inspici etiam pro speculo potest.* Buttm.

κορυφὴν] Mira hic mihi in exemplari Græco videtur esse menda. Quid enim sibi vult κορυφὴν *apicem?* legendum censeo κόρην *oculi* scilicet *pupillam.* Dacier. κόρην Stob. Ven. Ast.

ΣΩ. Ὀφθαλμὸς ἄρα ὀφθαλμὸν θεώμενος, καὶ ἐμβλέπων εἰς τοῦτο ὅ περ βέλτιστον αὐτοῦ καὶ ᾧ ὁρᾷ, οὕτως ἂν αὑτὸν ἴδοι;

ΑΛ. Φαίνεται.

ΣΩ. Εἰ δέ γε εἰς ἄλλο τῶν τοῦ ἀνθρώπου βλέποι ἤ τι[b] τῶν ὄντων, πλὴν εἰς ἐκεῖνο ᾧ τοῦτο τυγχάνει ὅμοιον, οὐκ ὄψεται ἑαυτόν.

ΑΛ. Ἀληθῆ λέγεις.

ΣΩ. Ὀφθαλμὸς ἄρα εἰ μέλλει ἰδεῖν ἑαυτόν,[c] εἰς ὀφθαλμὸν αὐτῷ βλεπτέον, καὶ τοῦ ὄμματος εἰς ἐκεῖνον τὸν τόπον ἐν ᾧ τυγχάνει ἡ[d] ὀφθαλμοῦ ἀρετὴ ἐγγιγνομένη· ἔστι δὲ τοῦτό που ἡ[e] ὄψις.

ΑΛ. Οὕτως.

§. 58. ΣΩ. Ἆρ' οὖν, ὦ[f] φίλε Ἀλκιβιάδη, καὶ ψυχὴ
εἰ μέλλει γνώσεσθαι αὑτήν, εἰς ψυχὴν αὐτῇ βλεπτέον, καὶ
μάλιστ'[g] εἰς τοῦτον αὐτῆς τὸν τόπον ἐν ᾧ ἐγγίγνεται ἡ
ψυχῆς ἀρετή, σοφία, καὶ εἰς ἄλλο ᾧ τοῦτο[h] τυγχάνει II. iii. 368.
ὅμοιον ὄν;

[a] ὅν τι 𝔄Δ, ὅτι Π: ὃν *ς.—[b] τοι Δ.—[c] αὑτὸν 𝔄.—[d] ἡ add 𝔄ΔΠ.—[e] ἡ add 𝔄ΔΠ.—[f] ὦ om pr Ξ.—[g] μάλιστ' Γ. εἰς...ἄλλο om Σ et pr Ξ.—[h] ὃ τούτου F.

ὀφθαλμοῦ ἀρετὴ] Articulum hic et in verbis ἡ ὄψις e Ven. recepimus. Ceterum cf. Platon. Polit. i. 24. Metop. Pythagor. in Stob. Sermon. i. p. 7. 14. Hippodam. in Stob. Serm. xci. p. 553. 43. p. 556. 48. Ast.

τοῦτο] Stob. τουτί. Pro, οὐκ ὄψεται ἑαυτὸν, Stob. οὐχὶ ὁ. ἑ. Post, τὸ εἰδέναι τε καὶ φρονεῖν, Stob. addit ἐστίν. Gottl.

§. 58. τόπον] τύπον Ms. Bodl. Etw.

σοφία] Non recte olim Heusdio Astioque assenseram, vocem σοφία ut glossema rejicientibus, quoniam in sequentibus demum doceat Socrates, animi virtutem in sapientia sitam esse: quod verum non est; sed illud mox dicet, animi virtutem esse in eo, circa quod sit τὸ εἰδέναι καὶ τὸ φρονεῖν. Jam sicut in proxime superioribus de oculi virtute sermo erat, quam ὄψιν nominabat; ita nunc, de animi virtute loquens, σοφίαν eam appellat. Itaque respondent sibi ὄψις et σοφία. Jam sicut τῆς ὄψεως sedes est in pupilla, ita nunc sedem quærit etiam τῆς σοφίας. Quo pacto simul apparet certissime veram esse lectionem νοερώτερον, quam e tribus optimis et e Stobæo in sequentibus adoptavimus pro vulgato antea θειότερον. Nam sic tandem ab omni parte absolvitur comparatio oculi. Sicut enim virtus oculi, ὄψις, sita est in eo ᾧ ὁρᾷ; ita virtus animi, σοφία, sita est in eo ᾧ νοεῖ sive in eo quod est τῆς ψυχῆς τὸ νοερώτατον. Hoc autem dicet esse illud περὶ ὃ τὸ εἰδέναι τε καὶ φρονεῖν ἐστιν, pro quo mox una voce φρόνησις utitur. Ἡ σοφία itaque est ἐν τῇ φρονήσει, sicut ἡ ὄψις ἐν τῇ κόρῃ: *sapientia in mente*, sicut *visus in pupilla*. Restat alia varietas. Quippe pro istis τῷ θείῳ Nurnberger e codice Ven. (Π) affert τῳ Θωι (sic ille, sine accentibus ut solet) h. e. τῷ θεῷ: Bekker autem ex eodem et Vatic. diserte enotavit τῷ θεῷ. Verum probe notandum, in Clark. a quo duo illi alias non recedunt nisi in exiguis scripturæ diversitatibus vel mendis manifestis, hanc varietatem non esse: cujus rei fidem facit summa alias in minutissimis diligentia Gaisfordi qui hunc codicem contulit. De sententia horum

ΑΛ. Ἔμοιγε δοκεῖ, ὦ Σώκρατες.

ΣΩ. Ἔχομεν οὖν εἰπεῖν ὅ τί ἐστι τῆς ψυχῆς νοερώτερον[i] ἢ τοῦτο περὶ ὃ τὸ εἰδέναι τε[j] καὶ φρονεῖν ἐστίν;[k]

ΑΛ. Οὐκ ἔχομεν.

ΣΩ. Τῷ θεῷ[l] ἄρα τοῦτ'[m] ἔοικεν αὐτῆς, καί τις εἰς τοῦτο βλέπων καὶ πᾶν τὸ θεῖον γνούς, θεόν τε καὶ φρόνησιν, οὕτω καὶ ἑαυτὸν ἂν γνοίη[n] μάλιστα.

ΑΛ. Φαίνεται.[o]

ΣΩ. Τὸ δὲ γιγνώσκειν αὑτὸν ὁμολογοῦμεν σωφροσύνην εἶναι.

—[i] *νοερώτερον* ΔΠ, *νοώτερον* 𝔄: *θειότερον* *ς.—[j] *γε* 𝔄Π.—[k] *ἐστίν* add 𝔄ΔΠ.—[l] *θεῷ* ΔΠ : *θείῳ* *ς.—[m] *τοῦτ'* Γ.—[n] *γνοίη ἂν* ΞΣΥ et pr C.—[o] post *φαίνεται* Eusebius (P. E. p. 551.) inserit, quæ a Stobæo (i. p. 408. Gaisford.) post *Πανύ γε* v. 13. adduntur: *Ἆρ' ὥσπερ κάτοπτρα σαφέστερά ἐστι τοῦ ἐν τῷ ὀφθαλμῷ ἐνόπτρου καὶ καθαρώτερά τε καὶ λαμπρότερα, οὕτω καὶ ὁ θεὸς τοῦ ἐν τῇ ἡμετέρᾳ ψυχῇ βελτίστου καθαρώτερόν τε καὶ λαμπρότερον τυγχάνει ὄν; Ἔοικέ γε ὦ Σώκρατες.* Εἰς τὸν

verborum cf. Excursum ad not. sq. Buttm.

ᾧ] Deest *ᾧ*, mox *ἐστι*, et postea *περὶ* in Ms. Bodl. Etw.

ᾧ τοῦτο τυγχάνει ὅμοιον] *Cui sapientia* (*τοῦτο* enim ad *σοφίαν* referendum) *similis est*, i. e. cognitio rationis atque intelligentiæ, quæ, ut Cratippus ait apud Cic. de Div. i. 32. 'tum maxime vigent, cum plurimum absint a corpore.' Plat. Phædon. c. 27. *Ὅταν δέ γε*, inquit, *αὐτὴ* (*ἡ ψυχὴ*) *καθ' αὑτὴν σκοπῇ, ἐκεῖσε οἴχεται εἰς τὸ καθαρόν τε καὶ ἀεὶ ὂν καὶ ἀθάνατον, καὶ ὡσαύτως ἔχον.* Nurnb.

τῆς ψυχῆς θειότερον] Ita Plat. Crit. c. 8. *ἢ φαυλότερον*, inquit, *ἡγούμεθα εἶναι τοῦ σώματος ἐκεῖνο, ὅ τι ποτ' ἐστὶ τῶν ἡμετέρων, περὶ ὃ ἥ τε ἀδικία καὶ ἡ δικαιοσύνη ἐστίν;* Nurnb.

θειότερον] Ven. *νοερώτερον*. Euseb. Præp. Ev. xi. 27. p. 551. B. hunc locum citans, inserit *ἐστὶ* post *ψυχῆς* et *φρονεῖν*. Ast.

τῷ θείῳ ἄρα] Si qua similitudo hominis est et Dei, ea esse debet *ἐν τῷ εἰδέναι τε καὶ φρονεῖν. Τῷ μὲν* (*σώματι*) *δουλεύειν καὶ ἄρχεσθαι ἡ φύσις προστάττει, τῇ δὲ* (*ψυχῇ*) *ἄρχειν καὶ δεσπόζειν· καὶ κατὰ ταῦτα αὖ πότερόν σοι δοκεῖ ὅμοιον τῷ θείῳ εἶναι καὶ πότερον τῷ θνητῷ, ἢ οὐ δοκεῖ σοι τὸ μὲν θεῖον οἷον ἄρχειν τε καὶ ἡγεμονεύειν πεφυκέναι.* Phædon. c. 27. Nurnb.

θεόν τε καὶ φρόνησιν] *Ὅταν περ αὐτὴ* (*ἡ ψυχὴ*) *καθ' αὑτὴν γένηται καὶ ἐξῇ αὐτῇ· καὶ πέπαυταί τε τοῦ πλάνου, καὶ περὶ ἐκεῖνα ἀεὶ κατὰ ταῦτα ὡσαύτως ἔχει, ἅτε τοιούτων ἐφαπτομένη· καὶ τοῦτο αὐτῆς τὸ πάθημα φρόνησις κέκληται·* Phædo. c. 27. Et Olympiodor. ad Phædon. c. 14. *ἡ δὲ φρόνησις τὴν ἐπιστημονικὴν δηλοῖ ἐνέργειαν.* Nurnb.

θεόν τε καὶ φρόνησιν] Magnopere displicet illud *θεόν τε καὶ φρόνησιν*, pro quo unice requiritur *σοφίαν τε καὶ φρόνησιν*. In iis enim, quæ hæc præcedunt, rogaverat: *ἔχομεν οὖν εἰπεῖν, ὅ, τι ἐστὶ τῆς ψυχῆς θειότερον ἢ τοῦτο περὶ ὃ τὸ εἰδέναι τε καὶ φρονεῖν;* Paullo ante—*ἡ ψυχῆς ἀρετὴ, σοφία*—delendum est *σοφία*, tamquam glossema ad *ἡ ψυχῆς ἀρετὴ* adscriptum. Heusd.

νοῦν τε καὶ φρόνησιν] Vulgata scriptura, quam Ficinus quoque expressit, est *θεόν τε καὶ φρόνησιν*. Jure displicebat Heusdio. Propius accedit ad vocis *θεὸν* ductus, quod nos, aliis præterea argumentis adducti, reponere ausi sumus *νοῦν*. Infra legimus *νοῦν ἰατρικὸν* et *νοῦ τε καὶ ἀρετῆς κυβερνητικῆς*. Gravioris etiam momenti est Juliani locus Orat. ii. p. 68. D. *τὸ γὰρ σεαυτοῦ οὐ δήπου τὸ σῶμά φησιν* (*ὁ σοφὸς*, int. *Πλάτων*), *οὐδὲ τὰ χρήματα, οὐδὲ εὐγένειαν καὶ δόξαν πατέρων· ταῦτα γὰρ αὐτοῦ μέν τινος οἰκεῖα κτήματα, οὐ μὴν ἐστι ταῦτα αὐτός. ἀλλὰ νῷ καὶ φρονήσει, φησί, καὶ τὸ ὅλον τῷ ἐν ἡμῖν θεῷ· ὃ δὴ καὶ αὐτὸς ἑτέρωθι κυριώτατον ἐν ἡμῖν ψυχῆς εἶδος ἔφη* (int. Platon.). Cf. p. 69. D. 70. A. Ast.

ΑΛ. Πάνυ γε.

ΣΩ. Ἆρ' οὖν μὴ γιγνώσκοντες ἡμᾶς αὐτοὺς μηδὲ σώ-

θεὸν ἄρα βλέποντες ἐκείνῳ καλλίστῳ ἐνόπτρῳ χρῴμεθ' ἄν, καὶ τῶν ἀνθρωπίνων εἰς τὴν ψυχῆς ἀρετήν· καὶ οὕτως ἂν μάλιστα ὁρῷμεν καὶ γιγνώσκοιμεν ἡμᾶς αὐτούς.

πάνυ γε] Stob. post hæc verba, p. 181. ΣΩ. Ἆρ' ὥσπερ κάτοπτρα σαφέστερά ἐστι, τοῦ ἐν τῷ ὀφθαλμῷ ἐνόπτρου, καὶ καθαρώτερά τε καὶ λαμπρότερα, οὕτω καὶ ὁ θεὸς τοῦ ἐν τῇ ἡμετέρᾳ ψυχῇ βελτίστου, καθαρώτερόν τε καὶ λαμπρότερον τυγχάνει ὤν. ΑΛ. Ἔοικέ γε, ὦ Σώκρατες. ΣΩ. Εἰς τὸν θεὸν ἄρα βλέποντες, ἐκείνῳ καλλίστῳ ἐνόπτρῳ χρώμεθ' ἄν, καὶ τῶν ἀνθρωπίνων εἰς τὴν ψυχῆς ἀρετήν. καὶ οὕτως ἂν μάλιστα ὁρῷμεν καὶ γιγνώσκοιμεν ἡμᾶς αὐτούς. ΑΛ. Ναί. ΣΩ. Τὸ δὲ γιγνώσκειν αὐτὸν, ὁμολογοῦμεν σωφροσύνην εἶναι; ΑΛ. Πάνυ γε. Locus hic omissus in editionibus vulgatis, Platone non indignus videtur. Bene etiam cum superioribus cohæret. Conr. Gesnerus quidem judicat ita, cujus verba digna sunt, quæ hic apponantur: "Si hæc eximas, præcedentia et sequentia, ut in impressis Platonis exemplaribus habent, cohærebunt. Suspicor vero, recte hic legi, et omnia conjungi debere. In impressis vero culpa librarii omissa esse, quæ sequuntur hæc verba: (*Se ipsum vero cognoscere, prudentiam esse concedimus. Prorsus.*) donec eadem repetantur. Sic enim sæpe fit error.' Hæc ille. Post ea verba, in Stobæo (p. 181.) repetuntur verba: τὸ δὲ γιγνώσκειν αὐτὸν ὁμολογοῦμεν σωφροσύνην εἶναι; πάνυ γε. ἆρ' οὖν μὴ γιγνώσκοντες. Gottl. Equidem hæc non Platonis esse puto. Adscendit quidem Plato a cognitione animi humani ad cognitionem Dei; utrum autem a Dei cognitione ad cognitionem animi descendat, dubito. Certe non recipienda sunt in textum sine codd. Plat. auctoritate. Nurnb. Hæc spuria esse et ab homine fortasse Christianæ religioni addicto interpolata, quislibet per se sentiet. Accedit, quod orationis nexum turbant; verba enim τὸ γιγνώσκειν αὐτὸν et σωφροσύνην cum sequentibus μὴ γιγνώσκοντες ἡμᾶς αὐτοὺς et μηδὲ σώφρονες ὄντες arctissime cohærent. Ast.

πάνυ γε] De verbis illis, quæ exstant apud Eusebium quoque P. E. p. 551. e Platonis libris hodie exulantibus prima mea olim jam fuerat sententia ut cum Conr. Gesnero et Gottlebero recipienda censerem, quoniam et alia quædam, quanquam breviora, in solis his Stobæanis excerptis inventa sint. Accedebat quod in his verbis demum illud *cui mens similis sit* (58. καὶ εἰς ἄλλο ᾧ τοῦτο τυγχάνει ὅμοιον ὄν), Deus nimirum, disertius indicatur: quo carere non posse disputatio videbatur, ob præmissa illa de pupilla et speculo, quibus respondent mens et deus. Postea tamen transibam in sententiam eorum qui tanquam insititia hæc rejicerent, quanquam rationibus extrinsecus maxime ductis. Nam primum in litteris verbisque nihil eorum videbam quæ ansam ejusmodi omissioni dare solent, ὁμοιοτέλευτον maxime. Sane verba Socratis et Alcibiadis hæc, Τὸ δὲ γιγνώσκειν—Πάνυ γε, apud Stobæum bis leguntur, et ante et post controversa illa verba. Sed bis hæc, etiamsi genuina illa putamus, scriptor nullo modo ponere potuit. Ut hoc ipsum, quod tam fatue tamen apud Stobæum ea repetuntur, indicio potius esse videatur textus interpolati. Quin apud ipsum Stobæum, dubia hæc particula et a superioribus et a subsequentibus sejuncta legitur, adjecta marginali nota 'Ejusdem,' qua novum alias fragmentum indicari solet: verba autem illa, Τὸ δὲ γιγνώσκειν—Πάνυ γε, ut superiorem partem ibi claudunt, ita proxime sequentem ordiuntur. Unde satis videbatur patere, Stobæum, sive quicunque verba de quibus agimus inseruerit, brevius illud diverbium utroque loco, ad seriem orationis illo emblemate interruptæ, necessarium putasse. Ad illam autem quam modo tetigi sententiarum concinnitatem efficiendam, vulgata quoque quamvis breviora videbantur tamen sufficere posse: modo ne jungeretur in superioribus τῷ θείῳ αὐτῆς, sed τοῦτο αὐτῆς ἔοικε τῷ θείῳ, hoc est hic ut alibi, τῷ θεῷ. Ob id ipsum autem, quod nimis breviter hæc tractata viderentur, alium aliquem e Platonicis forsitan Stobæana illa inseruisse autumabat Schleiermacher. Verum ex hoc ipso, quod Platonicus hic quoque fuisse censendus est, apparet, quam parvi tota quæstio sit momenti, quamque nulla fere ex ipsa re sententiisque indicia duci possint. Quod longe sane aliter esset, si, quod nemo facile hodie contendet, ipse

φρονες ὄντες δυναίμεθ' ἄν[p] εἰδέναι τὰ ἡμέτερα αὐτῶν κακά[q] τε καὶ ἀγαθά;

ΑΛ. Καὶ πῶς ἂν τοῦτο γένοιτο, ὦ Σώκρατες;

ΣΩ. Ἀδύνατον[r] ἴσως σοι[s] φαίνεται μὴ γιγνώσκοντα Ἀλκιβιάδην τὰ Ἀλκιβιάδου γιγνώσκειν ὅτι Ἀλκιβιάδου ἐστίν.

ΑΛ. Ἀδύνατον μέντοι νὴ Δία.

ΣΩ. Οὐδ' ἄρα τὰ ἡμέτερα ὅτι ἡμέτερα,[t] εἰ μηδ'[u] ἡμᾶς αὐτούς;

ΑΛ. Πῶς γάρ;

II. iii. 369. ΣΩ. Εἰ δ' ἄρα μηδὲ[v] τὰ ἡμέτερα, οὐδὲ τὰ τῶν ἡμετέρων;

ΑΛ. Οὐ φαίνεται.

Ναί.—[p] ἂν add 𝔄ΔΠ.—[q] καλά F.—[r] post ἀδύνατον omisi γὰρ cum 𝔄ΔΠF.—[s] ἴσως σοι 𝔄Π, ἴσσοι Δ, ἴσως τοῦτο F : ἴσως *ς.—[t] ὅτι ἡμέτερα om 𝔄ΔΠ.—[u] μηδ' 𝔄ΔΠC: μὴ δι' *ς.—[v] μηδὲ add Stobæus.—[w] τοι ΞF.—[x] ὁμολογοῦμεν 𝔄ΓΔΠΣEF.—[y] ἀεί τι

Plato hunc dialogum scripsisset. Illa autem externa indicia facile removeas ita ut, quod profecto nihil mirum, in consarciendis Stobæanis illis excerptis, turbatum hic aliquo modo esse putes. Certe de hoc dubitari nequit, auctorem horum verborum inserta voluisse ea statim post illa, οὕτω καὶ αὑτὸν ἂν γνοίη μάλιστα. Φαίνεται. Atqui eo ipso loco revera leguntur apud Eusebium, verbis tamen in ipsa commissura corruptis in hunc modum: φαίνεται γὰρ οὖν ὅθ' ὥσπερ—, quæ facile emendantur ita: Φαίνεται. Ἆρ' οὖν ὥσπερ—: cum apud Stobæum molesto asyndeto scriptum sit Ἆρ' ὥσπερ. Illa autem minor colloquii particula, quæ bis legitur apud Stobæum, apud Eusebium, qui in his,—ἡμᾶς αὐτούς. Ναί.—excerptionem suam absolvit, non comparet. Itaque non est cur, quæ a duobus antiquorum scriptorum decerptoribus diversimode nobis porriguntur, rejiciamus. Posse enim etiam sine homœoteleuto mera scribæ supinitate particulas dialogi alicujus, longiores, breviores, excidere, quis quæso negarit? Atque sic tandem huic nostræ sententiæ haud spernendum documentum accedit in iis quæ leguntur inferius §. 60. Καί, ὅπερ γε ἐν τοῖς πρόσθεν ἐλέγομεν, εἰς τὸ θεῖον καὶ λαμπρὸν ὁρῶντες πράξετε. Nam hæc τοῦ λαμπροῦ appellatio in superioribus non legitur nisi in controversa illa sermonis parte; neque admodum satisfacit Schleiermacheri observatio, verba ὅπερ—ἐλέγομεν referri posse ad solum hoc εἰς τὸ θεῖον, ut τὸ λαμπρὸν hic demum a scriptore adjectum sit. Buttm.

δυναίμεθα εἰδέναι] In Σωφροσύνῃ sive φρονήσει inest summum bonum, ad quod omnia alia referenda. Egregie huc faciunt, quæ dicit Plato de Legg. i. ἤρτηται δ' ἐκ τῶν θείων (ἀγαθῶν) θάτερα (genera bonorum, et divina et humana) καὶ ἐὰν μὲν δέχηταί τις τὰ μείζονα πόλις, κτᾶται καὶ τὰ ἐλάττονα· εἰ δὲ μή, στέρεται ἀμφοῖν. Nurnb.

ἴσως φαίνεται] Stob. ἴσως σοι φαίν. Mox pro, εἰ δ' ἄρα τὰ ἡμέτερα, Stob. εἰ δ' ἄρα μηδὲ τὰ ἡ. Pro, ἀλλ' οὐδὲ, Stob. ἄλλους δέ. Pro, που ἂν ἀγνοοῖ, Stob. που ἀγνοεῖ. Denique pro, τί δ', Stob. τίς δ'. Gottl.

εἰ μὴ δι' ἡμᾶς αὐτοὺς] Mendam suspicor, ac lego potius εἰ μήδ' ἡμᾶς αὐτούς. Vertendum igitur, *Nec nostra, quod nostra sint, nisi nosmet ipsos noverimus.* Faber. Certissimam hanc Fabri emendationem confirmat Ficini versio atque optimi hodie codices. Vulgo εἰ μὴ δι' ἡμᾶς αὐτούς. In seqq. autem æque necessarium μηδὲ post εἰ δ' ἄρα, in vulgatis plane omissum, e Stobæo insertum est. Buttm.

ΣΩ. Οὐκ ἄρα πάνυ τι[w] ὀρθῶς ὡμολογοῦμεν[x] ὁμολογοῦντες ἄρτι[y] εἶναί τινας οἳ ἑαυτοὺς μὲν οὐ γιγνώσκουσι, τὰ δὲ ἑαυτῶν· ἀλλ' οὐδὲ τὰ τῶν[z] ἑαυτῶν. ἔοικε γὰρ πάντα ταῦτα εἶναι κατιδεῖν ἑνός τε[a] καὶ μιᾶς τέχνης, αὑτόν, τὰ αὑτοῦ, τὰ τῶν ἑαυτοῦ.[b]

ΑΛ. Κινδυνεύει.

§. 59. ΣΩ. Ὅς τις δὲ τὰ αὑτοῦ ἀγνοεῖ, καὶ τὰ τῶν ἄλλων που ἂν[c] ἀγνοοῖ κατὰ ταὐτά.[d]

ΑΛ. Τί μήν;

ΣΩ. Οὐκοῦν εἰ τὰ τῶν ἄλλων, καὶ τὰ τῶν πόλεων ἀγνοήσει.

ΑΛ. Ἀνάγκη.

ΣΩ. Οὐκ ἄρ'[e] ἂν γένοιτο ὁ τοιοῦτος ἀνὴρ πολιτικός.

ΑΛ. Οὐ δῆτα.

ΣΩ. Οὐ μὴν οὐδ' οἰκονομικός γε.

ΑΛ. Οὐ δῆτα. II. 134.

ΣΩ. Οὐδέ γε[f] εἴσεται ὅ τι πράττει.

ΑΛ. Οὐ γὰρ οὖν.

ΣΩ. Ὁ δὲ μὴ εἰδὼς οὐχ ἁμαρτήσεται;

ΑΛ. Πάνυ γε.

ΣΩ. Ἐξαμαρτάνων δὲ οὐ κακῶς πράξει ἰδίᾳ τε καὶ δημοσίᾳ;

ΑΛ. Πῶς δ' οὔ; II. iii. 370.

ΣΩ. Κακῶς δὲ πράττων οὐκ ἄθλιος;

ΑΛ. Σφόδρα γε.

ΣΩ. Τί δ' οἷς[g] οὗτος πράττει;

ΑΛ. Καὶ οὗτοι.[h]

F.—[z] αὐτῶν 𝔄.—[a] τε om F.—[b] τὰ τῶν ἑαυτοῦ om Υ.—[c] ἂν om 𝔄ΔΠ.—[d] ταῦτα ΔΠ.—[e] ἄρ' Γ.—[f] γε om 𝔄ΔΠ.—[g] οἷς om pr F.—[h] καὶ οὗτοι καὶ οὗτοι Δ.—[i] οὐκ...

ἀλλ' οὐδὲ τὰ τῶν ἑαυτῶν] Ita optime Stobæus. Respicitur enim §. 54. ubi pronuntiatum erat, medicos, qui corpus curant, non *ἑαυτοὺς*, sed *τὰ ἑαυτῶν*, agricolas autem et ceteros opifices ne *τὰ ἑαυτῶν* quidem, sed *τὰ τοῦ σώματος*, itaque *τὰ τῶν ἑαυτῶν*, cognoscere. Vulgo h. l. maxima interpunctione post *τὰ δὲ ἑαυτῶν* posita, ita scribitur: *ἀλλ' οὐδὲ τὰ τῶν ἑαυτῶν*, quod etsi non prorsus ineptum est, longe tamen concinnior et aptior est Stobæi scriptura. Buttm.

§. 59. *ποῦ ἂν ἀγνοοίη*] Stob. *ποῦ ἀγνοεῖ*. Ast.

ἀνὴρ πολιτικὸς] Plato hic respondet objectioni, quam Xenophon Socrati fieri posse dicit Mem. i. 2. 17. *χρῆν τὸν Σωκράτην μὴ πρότερον τὰ πολιτικὰ διδάσκειν τοὺς συνόντας, ἢ σωφρονεῖν*. Nurnb.

κακῶς] *καλῶς* Ms. Bodl. Etw.

ΣΩ. Οὐκ[i] ἄρ' οἷόν τε, ἐὰν μή τις σώφρων καὶ ἀγαθὸς ᾖ, εὐδαίμονα εἶναι.

ΑΛ. Οὐχ οἷόν τε.

ΣΩ. Οἱ ἄρα κακοὶ τῶν ἀνθρώπων ἄθλιοι.

ΑΛ. Σφόδρα γε.

ΣΩ. Οὐκ ἄρα οὐδ' ὁ πλουτήσας ἀθλιότητος ἀπαλλάττεται, ἀλλ' ὁ σωφρονήσας.[j]

ΑΛ. Φαίνεται.

ΣΩ. Οὐκ ἄρα τειχῶν οὐδὲ τριήρων οὐδὲ νεωρίων δέονται αἱ πόλεις, ὦ Ἀλκιβιάδη, εἰ μέλλουσιν εὐδαιμονήσειν, οὐδὲ πλήθους οὐδὲ μεγέθους ἄνευ ἀρετῆς.

ΑΛ. Οὐ μέντοι.

ΣΩ. Εἰ δὴ[k] μέλλεις τὰ τῆς πόλεως πράξειν ὀρθῶς καὶ καλῶς, ἀρετῆς σοι[l] μεταδοτέον τοῖς[m] πολίταις.

ΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Δύναιτο δ' ἄν τις μεταδιδόναι ὃ μὴ ἔχοι;[n]

ΑΛ. Καὶ πῶς;

ΣΩ. Αὐτῷ[o] ἄρα σοὶ πρῶτον[p] κτητέον[q] ἀρετήν, καὶ ἄλ-
ii. iii. 371. λῳ[r] ὃς μέλλει μὴ ἰδίᾳ μόνον αὑτοῦ τε καὶ τῶν αὑτοῦ ἄρ-
ξειν καὶ ἐπιμελήσεσθαι, ἀλλὰ πόλεως καὶ τῶν τῆς πόλεως.

ΑΛ. Ἀληθῆ λέγεις.

§. 60. ΣΩ. Οὐκ ἄρα ἐξουσίαν σοι οὐδ' ἀρχὴν παρασκευαστέον σαυτῷ ποιεῖν ὅ τι ἂν βούλῃ, οὐδὲ τῇ πόλει, ἀλλὰ δικαιοσύνην καὶ σωφροσύνην.

ΑΛ. Φαίνεται.

ΣΩ. Δικαίως μὲν γὰρ πράττοντες καὶ σωφρόνως σύ τε καὶ ἡ πόλις θεοφιλῶς πράξετε.

γε om 𝔄Δ et pr Π, post σφόδρα γε v. 3. ponit rc Π.—[j] ματαιότητος 𝔄ΔΠ.—[k] δὲ ΣF.—[l] σοι om Ξ.—[m] τοῖς om Γ.—[n] ἔχοι ΓΞΣΥBC: ἔχει *ϛ.—[o] αὐτὸ CEϛ.—[p] πρῶτον om F.—[q] κλητέον 𝔄, κτήσεων Γ.—[r] ἄλλως ΣΥ.—[s] ὥσπερ Δ.—[t] ἡμέτερα

ὃ μὴ ἔχει] Struvius corrigit οὗ μὴ ἔχει, neque ego repudiem, ob proximum illud ἀρετῆς μεταδοτέον. Nihil tamen contra libros novandum est, cum accusativus non prorsus alienus sit ab hoc verbo, etiam ubi nonnisi partem suæ rei aliquis impertit. Sic enim Xenoph. Anab. iv. 5. 5.—εἰ μὴ μεταδοῖεν αὐτοῖς πυροὺς ἢ ἄλλο τι ὧν ἔχοιεν βρωτῶν. Qui locus variati quoque, sicut hoc nostro, casus exemplum præbet: sic enim statim continuatur ibi narratio: ἔνθα δὴ μετεδίδοσαν ἀλλήλοις ὧν εἶχον ἕκαστοι. Buttm.

ΑΛ. Εἰκός γε.

ΣΩ. Καὶ ὅ πέρ[s] γε ἐν τοῖς πρόσθεν ἐλέγομεν, εἰς τὸ θεῖον καὶ λαμπρὸν ὁρῶντες πράξετε.

ΑΛ. Φαίνεται.

ΣΩ. Ἀλλὰ μὴν ἐνταῦθά γε βλέποντες ὑμᾶς τε αὐτοὺς καὶ τὰ ὑμέτερα[t] ἀγαθὰ κατόψεσθε καὶ γνώσεσθε.

ΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν ὀρθῶς τε[u] καὶ εὖ πράξετε;

ΑΛ. Ναί.

ΣΩ. Ἀλλὰ μὴν οὕτω γε πράττοντας ὑμᾶς ἐθέλω ἐγγυήσασθαι[v] ἦ μὴν εὐδαιμονήσειν.

ΑΛ. Ἀσφαλὴς γὰρ εἶ ἐγγυητής.

ΣΩ. Ἀδίκως δὲ[w] πράττοντες, εἰς τὸ ἄθεον καὶ τὸ[x] σκοτεινὸν βλέποντες, ὡς τὰ εἰκότα,[y] ὅμοια τούτοις πράξετε ἀγνοοῦντες ὑμᾶς αὐτούς.

ΑΛ. Ἔοικεν. II. iii. 372.

ΣΩ. Ὧι γάρ, ὦ[z] φίλε Ἀλκιβιάδη, ἐξουσία μὲν ᾖ[a]
ποιεῖν ὃ βούλεται, νοῦν δὲ μὴ ἔχῃ, τί τὸ εἰκὸς συμβαίνειν,[b]
ἰδιώτῃ ἢ καὶ πόλει; οἷον νοσοῦντι ἐξουσίας οὔσης δρᾶν ὃ
βούλεται, νοῦν ἰατρικὸν μὴ ἔχοντι, τυραννοῦντι δέ, ὡς μηδὲ II. 135.
ἐπιπλήττοι τις αὐτῷ,[c] τί τὸ συμβησόμενον; ἆρ' οὐχ, ὡς τὸ
εἰκός, διαφθαρῆναι τὸ σῶμα;

ΑΛ. Ἀληθῆ λέγεις.

ΣΩ. Τί δ' ἐν νηΐ, εἴ τῳ ἐξουσία εἴη ποιεῖν ὃ δοκεῖ,[d] νοῦ τε καὶ ἀρετῆς κυβερνητικῆς ἐστερημένῳ, καθορᾷς ἃ[e] ἂν ξυμβαίνοι[f] αὐτῷ τε καὶ τοῖς ξυνναύταις;

F.—[u] ante καὶ omisi τε cum 𝔄ΓΔΠ.—[v] ἐγγυήσεσθαι Γ.—[w] δὲ om 𝔄ΔΠ : δέ γε *ς. —[x] τὸ post καὶ add 𝔄ΔΠ.—[y] εἰκότα om F et pr E.—[z] ὦ om F.—[a] ᾖ om pr Ξ.—[b] συμβαίνει F.—[c] ἐπιπλήττοντι ἑαυτῷ 𝔄ΔΠ.—[d] ὃ δοκεῖν 𝔄ΔΠ, om F.—[e] ὃ EFς.

§. 60. ᾧ γὰρ] Astius sine libris Ὧι γὰρ ἂν—. In quo sequitur ille quidem normam mille locorum consensu firmatam. Tamen cum in aliis verborum structuris hanc particulam sibi exposcentibus subinde omittant eam scriptores, et in hac ipsa tragici (vid. Porson. ad Eurip. Or. 141. Heind. ad Protag. §. 87.) meum certe non duxi ut sine libris quidquam hic agerem. E prosariis omissi ἂν exemplis, quæ excitavit Matth. Gr. 527. Obs. 2. Platonica aliter hodie eduntur e libris. Buttm.

ἐπιπλήττοι] Optativi hujus ratio quærenda videtur in sermone hypothetico: nam ἐξουσίας οὔσης hic valet idem quod εἰ ἐξουσία εἴη αὐτῷ. Est tamen aliquid insoliti in hac dictione, cui medelam non invenio in hac trium optimorum scriptura ἐπιπλήττοντι ἑαυτῷ. Nisi non nimium forte inde recedere censes hoc, ὡς μηδὲ ἐπιπλήττειν τινὰ αὐτῷ. Buttm.

ΑΛ. Ἔγωγε, ὅτι γε[g] ἀπόλοιντο[h] πάντες ἄν.[i]

ΣΩ. Οὐκοῦν ὡσαύτως ἐν πόλει τε καὶ πάσαις[j] ἀρχαῖς καὶ ἐξουσίαις ἀπολειπομέναις ἀρετῆς ἕπεται τὸ κακῶς πράττειν;

ΑΛ. Ἀνάγκη.

§. 61. ΣΩ. Οὐκ ἄρα τυραννίδα χρή, ὦ ἄριστε Ἀλκιβιάδη, παρασκευάζεσθαι οὔθ'[k] ἑαυτῷ οὔτε τῇ πόλει, εἰ μέλλετε εὐδαιμονεῖν, ἀλλ' ἀρετήν.

ΑΛ. Ἀληθῆ λέγεις.

ΣΩ. Πρὶν δέ γε ἀρετὴν ἔχειν τὸ ἄρχεσθαι ἄμεινον ὑπὸ τοῦ βελτίονος ἢ τὸ ἄρχειν ἀνδρί, οὐ μόνον παιδί.

II. iii. 373. ΑΛ. Φαίνεται.

ΣΩ. Οὐκοῦν τό γε ἄμεινον καὶ κάλλιον;

ΑΛ. Ναί.[l]

ΣΩ. Τὸ δὲ κάλλιον πρεπωδέστερον;

ΑΛ. Πῶς δ' οὔ;

ΣΩ. Πρέπει ἄρα τῷ κακῷ δουλεύειν· ἄμεινον γάρ.

ΑΛ. Ναί.

ΣΩ. Δουλοπρεπὲς ἄρα ἡ κακία.

ΑΛ. Φαίνεται.

ΣΩ. Ἐλευθεροπρεπὲς δὲ ἡ ἀρετή.

ΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν φεύγειν χρή, ὦ ἑταῖρε, τὴν δουλοπρέπειαν;

ΑΛ. Μάλιστά γε, ὦ Σώκρατες.

ΣΩ. Αἰσθάνει δὲ νῦν πῶς ἔχεις; ἐλευθεροπρεπῶς ἢ οὔ;

ΑΛ. Δοκῶ μοι καὶ μάλα σφόδρα αἰσθάνεσθαι.

—[f] ξυμβαίνοι Γ: ξυμβαίνῃ *ς.—[g] γε om ΓΣ.—[h] ἀπόλλυντο F.—[i] ἄν om 𝔄Π. —[j] πάσαις 𝔄ΔΠ: ἁπάσαις *ς.—[k] οὔθ' 𝔄Γ.—[l] ναί...γάρ om Υ.—[m] τὸ om Δ.—[n] ἂν

§. 61. *δοκῶ μοι καὶ μάλα σφόδρα αἰσθάνεσθαι*] Ea igitur de causa scripsisse videtur Plutarchus, quod Alcibiades argumentis Socratis solertibus evinctus, Ἔπτηξ' ἀλέκτωρ δοῦλον ὣς κλίνας πτερόν. Socratis porro dicendi genus sublime illum ad vivum adficere solitum est, ac vel ad lacrymas fundendas illum excitare potuit. Etw.

αἰσθάνεσθαι] Plutarchus narrat Alcibiadem, victum sermone Socratis, illacrimasse, seque ipsi totum dedidisse. Quare, quamvis ferox fuerit Alcibiades, neque hic locus, neque alter ille §. 48. *κινδυνεύω καὶ πάλαι λεληθέναι ἐμαυτὸν αἴσχιστα ἔχων* similitudine veri destituitur. Biest. Cic. Tusc. iii. 32. ' Quid enim dicemus, cum Socrates Alcibiadi persuasisset, ut accepimus, eum nihil hominis esse, nec quidquam inter Alcibiadem summo loco natum, et quemvis bajulum interesse, cum se Alcibiades afflictaret, lacrimansque Socrati supplex esset, ut sibi virtutem traderet, turpitu-

ΣΩ. Οἶσθα οὖν πῶς ἀποφεύξει τοῦτο τὸ[m] περὶ σὲ νῦν; ἵνα μὴ ὀνομάζωμεν αὐτὸ ἐπὶ καλῷ ἀνδρί.

ΑΛ. Ἔγωγε.

ΣΩ. Πῶς;

ΑΛ. Ἐὰν βούλῃ σύ, ὦ Σώκρατες.

ΣΩ. Οὐ καλῶς λέγεις, ὦ Ἀλκιβιάδη.

ΑΛ. Ἀλλὰ πῶς χρὴ λέγειν;

ΣΩ. Ὅτι ἐὰν[n] θεὸς ἐθέλῃ.

ΑΛ. Λέγω δή. καὶ πρὸς τούτοις μέντοι τόδε λέγω, ὅτι II. iii. 374.
κινδυνεύσομεν μεταβαλεῖν τὸ σχῆμα, ὦ Σώκρατες, τὸ μὲν σὸν ἐγώ, σὺ δὲ τοὐμόν· οὐ γὰρ ἔστιν ὅπως οὐ παιδαγωγήσω σε ἀπὸ τῆσδε τῆς ἡμέρας, σὺ δ' ὑπ' ἐμοῦ παιδαγωγήσει.

ΣΩ. Ὦ γενναῖε, πελαργοῦ ἄρα[o] ὁ ἐμὸς ἔρως οὐδὲν διοίσει,[p] εἰ[q] παρὰ σοὶ ἐννεοττεύσας[r] ἔρωτα ὑπόπτερον ὑπὸ τούτου πάλιν θεραπεύσεται.[s]

Δ.—[o] ἄρ' Γ.—[p] διοίσοι Δ.—[q] εἰ om pr Ξ.—[r] ἐννεοττεύσασιν Γ, ἐννευτεύσus Fς.—

dinemque depelleret?' Buttm.

ὅπως οὐ παιδαγωγήσω σε] Hic locus valde vitiatus est; legendum potius opinor *ὡς ὑπὸ σοῦ ἐπαιδαγωγήθην*, aut *ὡς σὺ ἐμὲ ἐπαιδαγώγησας, nunc tibi ego præcipiam, sicut tu mihi præcepisti.* Alcibiadem Socratem suum quasi præceptorem insectatum esse jamdudum liquet, ut ab eo autem erudiretur, non ut illum erudiret. Græci liberos præceptoribus quibuscunque subditos fecere, quoniam apud ludos publicos eruditi sunt; proceribus tantum traditi sunt magistri particulares, vel hisce quam rarissime. Faber. Sensus vero est, *fieri enim nequit, quin te ab hoc die ducam* (h. e. *secter*), *tu igitur a me ducaris*, h. e. *ita ut tu a me ducaris*, int. *quum ego antea a te ductus fuerim.* Δὲ est i. q. *δὴ* s. *οὖν*, vid. Gregor. de Dialect. p. 31. Eustath. ad Il. K. p. 813. 61. Stephan. de Dialect. Att. p. 26. sq. Extiterunt quidem viri docti, qui de hoc dubitaverint (Locella ad Xenoph. Ephes. p. 273. et Hermann. ad Aristoph. Nub. p. 177.) et pro *δὲ* in ejusmodi locis putaverint *δὴ* esse scribendum (Dorvill. ad Charit. p. 461.). Sed dubito an recte. Δὲ enim sæpenumero est particula explicativa, ita ut pro *γὰρ*, *οὖν* ponatur; jam sic hoc exemplis indubitatis probari potest, sicuti probatum est, (v. Sturz. Lexic. Xenophont. t. i. p. 626.) quidni etiam pro δὴ adhiberi possit? Ast. Ferri potest vulgata, si hac paraphrasi eam explanes: *Personas jam mutabimus: ego enim fiam ὁ παιδαγωγῶν, tu vero ὁ παιδαγωγούμενος.* Παιδαγωγεῖν, quia pædagogi pueros ubique comitabantur, usurpatur de omni *assidua prosecutione;* ita ut etiam ii qui eruditionis indigeant dicantur *παιδαγωγεῖν* illos quos ea de causa prosequuntur. Sic Plato de Rep. p. 600. extr. ait, homines si credidissent posse se ab Homero et Hesiodo ad virtutem juvari, *αὐτοὶ ἂν ἐπαιδαγώγουν (αὐτοὺς) ὅπῃ ᾔεσαν.* Buttm.

ὑπ' ἐμοῦ παιδαγωγήσῃ] Series orationis docet, non de institutione h. l. cogitandum esse, sed de assidua prosecutione, qua prosequebantur amatores pueros amatos. Supra c. 1. Alcibiades: *ἀεὶ*, ait, *ὅπου ἂν ὦ, ἐπιμελέστατα παρών.* Cf. de Rep. p. 600. Est ab *ἀγωγὸς*, *illex, allector.* Sic *ἀγωγοὶ ὀφθαλμοί.* Nurnb.

διοίσει] *διοίσῃς* Ms. Bodl. Etw.

θεραπεύεται] Vind. et Bas. 2. *θεραπεύσεται*, quod placet. De *πελαργοῦ* amore vid. Aristot. H. A. ix. 13. Ælian. H. A. iii. 23. x. 16. Plin. x. 23. Hinc Pythagoreorum *πελαργᾶν*, Diog. Laert. viii. 20. Suid. v. *πελαργᾶν* et v. Πυθ. Jamblich. Vit. Pythag. v. p. 19. ed. Küster. Ceterum *τοῦ πελαργοῦ* pro

ΑΛ. Ἀλλ' οὕτως ἔχει, καὶ ἄρξομαί γε ἐντεῦθεν[t] τῆς δικαιοσύνης ἐπιμέλεσθαι.

ΣΩ. Βουλοίμην ἄν σε καὶ διατελέσαι· ὀῤῥωδῶ δέ, οὔτι[u] τῇ σῇ φύσει ἀπιστῶν ἀλλὰ τὴν τῆς πόλεως ὁρῶν ῥώμην, μὴ ἐμοῦ τε καὶ σοῦ κρατήσῃ.

[s] θεραπεύεται E, θεραπεύεται (σεται) Fς.—[t] ἐντεῦθεν om F.—[u] οὔτοι ΞF.

τοῦ (ἔρωτος) τοῦ πελαργοῦ dictum; v. Schæfer. ad Plin. Epist. p. 45. Melet. Crit. p. 57. ad Lamb. Bos. p. 3. Matthiæ Misc. Philol. v. ii. p. ii. p. 108. Ast.

ΜΕΝΕΞΕΝΟΣ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΜΕΝΕΞΕΝΟΣ.

ARGUMENTUM.

Consilium Platonis est cohortari omnes ad summam patriæ caritatem : quod duobus efficit modis. Primo quidem dum laudat illos, qui pro salute patriæ pericula mortemque intrepide subeunt. Deinde dum ipse patriæ suæ antiquitatem virtutesque laudibus miris extollit. Eo igitur redit sermonis summa, uti unusquisque patriæ suæ salutem atque incolumitatem omnibus rebus suis suæque adeo vitæ libenter anteponat, eosque beatos existimet, qui hujusmodi rerum causa sanguinem profuderint, quos et laus et merces maneat sempiterna.

Μ Ε Ν Ε Ξ Ε Ν Ο Σ.*

§. 1. Ἐξ ἀγορᾶς ἢ πόθεν Μενέξενος;
ΜΕΝ. Ἐξ[a] ἀγορᾶς, ὦ Σώκρατες, καὶ ἀπὸ τοῦ[b] βουλευτηρίου. Steph. II. 234. Bek. II. iii. 377.

* Sic laudatur hic dialogus a Dionys. Hal. de admir. vi dicendi Demosth. t. vi. p. 1027. R. *κράτιστος πάντων τῶν πολιτικῶν λόγων ὁ Μενέξενος, ἐν ᾧ τὸν ἐπιτάφιον διεξέρχεται λόγον.* Athen. xi. p. 506. *ἐν τῷ Μενεξένῳ.* Plutarch. in Pericle p. 638. t. i. R. *ἐν τῷ Μενεξένῳ τοῦ Πλάτωνος.* At *Ἐπιτάφιος* ab Aristot. Rhet. iii. 14. *Σωκράτης ἐν τῷ Ἐπιταφίῳ*: Dionys. de Compos. Verb. xviii. p. 116. *κατὰ τὴν τοῦ Ἐπιταφίου ἀρχήν*: Longino, xxviii. p. 156. Theoph. Corydal. apud Fabric. B. G. v. xiii. p. 685. Aristid. t. ii. p. 85. Jebb. Cicer. Tusc. v. 12. 'Quid vero in Epitaphio?' Synesius p. 37. Petav. vocat *Ἀσπασίας ἐπιτάφιον—Πλάτωνος.* Aristides oratorie dicit Menexenum: *λόγον πανηγυρικὸν*, quem habuerit Socrates *αὐτοκέλευστος*. T. ii. p. 281. Cicero Orator. c. 44. appellat 'orationem popularem, qua mos est Athenis laudari in concione eos, qui sint in præliis interfecti.' Unde Græce dicitur *λόγος πολιτικὸς*, oratio, quæ ad populum pertinet; veluti apud Dionys. de Admir. vi Dem. p. 1027. Cf. ejusd. *τέχνη*, c. vi. p. 259. *παραδείγματα—sc. λόγων, ἐστὶ—τοῦ μὲν κοινοῦ καὶ πολιτικοῦ, παρά γε τῷ τοῦ Ὀλόρου καὶ παρὰ τῷ τοῦ Ἀρίστωνος.* Auctore Dionysio, t. vi. p. 1027. Plato in hac oratione imitatus est Thucydidem ii. 35—46. sive Periclem. GOTTL.

§. 1. *Μενέξενος*] Menexeni mores adumbrantur in Platon. Lyside, p. 502. Francof. Dicitur autem fuisse *ἐριστικὸς* et *δεινὸς λέγειν*, utpote Ctesippi discipulus. Quum dissereret cum Socrate jam sene, fuit admodum tenera ætate, et paullo arrogantior, quod et docent verba in principio dialogi: *καὶ ἄρχειν ἡμῶν—ἐπιχειρεῖς τῶν πρεσβυτέρων τηλικοῦτος ὤν*; Item: *ἐὰν σύ γε ἐᾷς, καὶ συμβουλεύῃ ἄρχειν, προθυμήσομαι.* GOTTL.

Μενέξενος] Compellationes casu nom. pro voc. non raro reperiuntur, sæpe addito pronomine *οὗτος*; v. c. Plat. Conv. p. 315. *ὁ Φαληρεὺς οὗτος Ἀπολλόδωρος, οὐ περιμένεις*; Protag. p. 193. D. *Καὶ ἐγὼ τὴν φωνὴν γνοὺς αὐτοῦ, Ἱπποκράτης, ἔφην, οὗτος, μή τι νεώτερον ἀγγέλλεις*; sed etiam sine pron. *οὗτος*: sic Plat. Hipp. Maj. p. 281. *Ἱππίας ὁ καλός τε καὶ σοφὸς, ὡς διὰ χρόνου ἡμῖν κατῆρας εἰς τὰς Ἀθήνας*; Soph. Aj. 695. *ἄναξ Ἀπόλλων, ὁ Δάλιος* etc. Verum in alteris illis locis hic casus magis efflagitari videtur pron. illo *οὗτος*; in alteris autem nom. positus videtur, quo epitheton, quod fere cognominis locum tenet, ab eo, quod ex loci ratione rei tribuitur, juste possit distingui; sunt tamen etiam exempla, ubi sine tali causa nominativus voc. locum obtinet. vid. Buttm. in pleniori Gr. Gr. p. 153. Sed nostro loco *Μενέξενος* verus mihi ac proprius nom. videtur et Socrates Menexenum alloqui

ΣΩ. Τί μάλιστα σὺ[c] πρὸς βουλευτήριον; ἢ δῆλα δὴ ὅτι παιδεύσεως[d] καὶ φιλοσοφίας ἐπὶ τέλει ἡγεῖ[e] εἶναι, καὶ ὡς ἱκανῶς ἤδη[f] ἔχων ἐπὶ τὰ μείζω ἐπινοεῖς τρέπεσθαι, καὶ ἄρχειν ἡμῶν, ὦ θαυμάσιε, ἐπιχειρεῖς τῶν πρεσβυτέρων τηλικοῦτος ὤν, ἵνα μὴ ἐκλίπῃ[g] ὑμῶν[h] ἡ οἰκία ἀεί τινα ἡμῶν ἐπιμελητὴν παρεχομένη;

MEN. Ἐὰν σύ γε, ὦ Σώκρατες, ἐᾷς καὶ συμβουλεύῃ[i]

CODICES DUODECIM,

ΓΘΞΣΦBCEFZ*rw*.

[a] καὶ ἐξ Σ.—[b] τοῦ om Γ.—[c] σοι ΣΦ.—[d] συνέσεως Σ.—[e] ἡγεῖ *w*.—[f] δὴ Γ.—[g] ἐκλείπῃ ΣΦ.—[h] ἡμῶν ΕΦ.—[i] συμβουλεύῃς ΞΣΦC*rw*, quod verum est.—[j] immo in tertia persona, ut Hor. Sat. ii. 4. 1. 'Unde et quo Catius?' Loers.

ἀπὸ τοῦ βουλ.] Est qui memor curiam in foro sitam fuisse, (Plut. in X. Rhet. t. ii. p. 842. Suid. in Μητραγ.) illud καὶ explicativa malit accipere significatione, quam disjunctiva, quoniam in iis, quæ statim sequuntur, nulla amplius τῆς ἀγορᾶς sit mentio; sed ferri etiam potest significatio disjunctiva, quam quidem equidem præfero, quia simplicior est et minus longe repetita. Ceterum causa, cur scriptor potius ἀπὸ scripserit, quam præcedentem præp. ἐξ repetierit unice e numero orationis ac scriptoris arbitrio est repetenda. Eodem modo Xenoph. Anab. ii. 2. 8. λαμβάνομεν δὲ οὔτε ἐκ τῆς γῆς οὐδὲν οὔτε ἀπὸ τῶν οἰκιῶν. Quod statim sequitur πρὸς dictum est cum respectu ad illud ἀπό. Loers.

ἦ δηλαδὴ] For. ἢ δῆλα δὴ ὅτι etc. quæ lectio annotata fuit et in Protagoræ principio, atque ex Cicerone confirmata. sic autem in fine pag. seq. ἢ δηλονότι pro ἢ δῆλον ὅτι. Steph.

ἢ δῆλα δὴ, ὅτι] Vulgo legitur in omnibus editt. vett. ἢ δηλαδή. Sed certissimam Stephani emendationem non dubitavi in textum recipere. Si δηλαδὴ vera esset lectio, non posset commode sequi ὅτι. Firmatur nostra correctio e Protag. p. 216. ubi vulgo: ἢ δηλαδὴ ὅτι ἀπὸ Κυνηγεσίου τοῦ περὶ τὴν Ἀλκιβιάδου ὥραν; ubi manifeste legendum est: ἢ δῆλα δὴ, ὅτι—Priscianus enim, l. vi. p. 74. ed. Ven. locum e versione Latina Ciceronis Protagoræ, quem adservavit cum duobus aliis, ita profert: 'Quid tu? unde tandem appares, o Socrates? an quidem dubium non est, quin ab Alcibiade?' v. Stephan. Cicer. Lexicon Græcolat. p. 130. Ita paullo post legendum est: τίς αὕτη; ἢ δῆλον, ὅτι Ἀσπασίαν λέγεις; Gottl.

δῆλα δὴ] Exempla hujus particulæ sic adhibitæ collegit Stallbaum. ad Plat. Phileb. §. 6. Sed ibidem confirmanti Stallb. male post secundam enuntiationem signum interrogandi poni, si hoc ita confirmat, ut omnino omnem interrogationem ab ea abesse judicet, equidem non assentior; manet enim animus interrogantis, licet priorem interrogationem retractat et corrigit, tamen etiamnum quasi suspensus ac dubius, confirmationemque ab eo, ad quem directa oratio est, expectat. Loers.

παιδεύσεως καὶ φιλοσ.] ἡ παίδευσις et φιλοσοφία totum circuitum cognitionum complectebantur, quibus qui esset instructus, idoneus ac juste institutus ad rempublicam obeundam putaretur. Hinc fit, ut toties ea verba conjuncta reperiantur, veluti de Rep. 498. B. μειράκια (δεῖ) μὲν ὄντα καὶ παῖδας μειρακιώδη παιδείαν καὶ φιλοσοφίαν μεταχειρίζεσθαι. Isocrat. Panath. p. 544. οὗτοι τοσοῦτον ἀπολελειμένοι τῆς κοινῆς παιδείας καὶ φιλοσοφίας εἰσὶν, ὥστ' οὐδὲ γράμματα μανθάνουσιν. Ibid. αἱ φιλοσοφίαι καὶ παιδεῖαι τῶν ἄλλων. ubi vid. Morus. Lucian. de Saltat. p. 120. v. 30. ἀνὴρ εἴ τις ὢν, καὶ ταῦτα παιδείᾳ σύντροφος, καὶ φιλοσοφίᾳ τὰ μέτρια ὁμιληκώς. Loers.

ὦ θαυμάσιε] Frequenter hæc adlocutio in dialogis occurrit, et in utramque partem sumitur; h. l. εἰρωνικῶς, ut loqui solet Socrates cum ejusmodi hominibus, Menexeno similibus; quasi dicat: *o inepte!* Occurrit crebro ita; v. c. Phædon. c. 66. Item ὦ φίλε, μακάριε, βέλτιστε, ὦ 'γαθὲ, et δαιμόνιε, ex Hom. Il. B. 195. Interdum habent hæ voces increpationem satis acerbam: v. c. Jupiter

ἄρχειν, προθυμήσομαι· εἰ δὲ μή, οὔ. νῦν μέντοι ἀφικόμην πρὸς τὸ βουλευτήριον πυθόμενος ὅτι ἡ βουλὴ μέλλει[j] *αἱρεῖσθαι ὅς τις ἐρεῖ ἐπὶ τοῖς ἀποθανοῦσι· ταφὰς γὰρ οἶσθ' ὅτι μέλλουσι ποιεῖν.*[k]

apud Lucian. t. ii. p. 644. Junonem adloquitur, *ὦ μακαρία*, i.e. *inepta*. Gottl.

συμβουλεύῃ] Ita Ald. sed Bas. 1. 2. *συμβουλεύει*, more Atticorum. v. Schol. ad Aristoph. Plut. 40. et 456. ubi vid. Hemsterh. Gottl.

συμβουλεύῃ] Quam lenissima mutatione converti posset in *συμβουλεύῃς*, quod vulgaris usus dicendi requirit; sed non est necesse. Loers.

ὅτι ἡ βουλὴ] Ita paullo post: *ἦ οἴει οἷός τ' εἶναι, αὐτὸς εἰπεῖν, εἰ δέοι, καὶ ἕλοιτό σε ἡ βουλή.*—Sic et Aristid. t. ii. p. 85. Jebb. *ὅσοι—ὑπὸ τῆς βουλῆς αἱρεθέντες—τοὺς ἐπιταφίους διεξέρχονται.* Sed mox noster: *ὅτι μέλλοιεν Ἀθηναῖοι αἱρεῖσθαι τὸν ἐροῦντα.* Thucydides, qui hunc morem diligenter describit, ii. 34. hunc oratorem a civitate delectum esse, sine repugnantia cum hoc loco, dicit. v. Petit. Legg. Att. p. 595. 602. ed. Wess. Polluc. viii. 136. Cic. de Legg. ii. 25. 26. Ita Demosthenes Epitaph. t. ii. p. 1388. R. *ἔδοξε τῇ πόλει δημοσίᾳ θάπτειν, καὶ προσέταξεν τὸν τῷ νόμῳ προσθέντα ἐμοὶ λόγον·* et rursus: p. 1389. *πόλις αἱρεῖται τὸν ἐροῦντα ἐπὶ ταῖς δημοσίαις ταφαῖς.* Lys. Epit. pr. p. 50. Gottl.

ΣΩ. Πότερον πρέπει,[h] φήσει, ὅταν τις τὴν χύτραν ἣν ἄρτι ἐλέγομεν, τὴν καλήν, ἕψῃ ἔτνους καλοῦ μεστήν, χρυσῆ τορύνη αὐτῇ[i] ἢ συκίνη;

ΙΠ. Ἡράκλεις, οἷον λέγεις ἄνθρωπον, ὦ Σώκρατες. οὐ[j] βούλει μοι εἰπεῖν[k] τίς ἔστιν;

ΣΩ. Οὐ γὰρ ἂν γνοίης, εἴ σοι εἴποιμι τοὔνομα.

ΙΠ. Ἀλλὰ καὶ νῦν ἔγωγε γιγνώσκω ὅτι ἀμαθής τίς ἐστιν.

ΣΩ. Μέρμερος πάνυ ἐστίν, ὦ Ἱππία. ἀλλ' ὅμως τί
II. iii. 430. φήσομεν; ποτέραν πρέπειν τοῖν[l] τορύναιν τῷ ἔτνει καὶ τῇ χύτρᾳ; ἢ δῆλον ὅτι τὴν συκίνην; εὐωδέστερον γάρ που τὸ ἔτνος ποιεῖ, καὶ ἅμα, ὦ ἑταῖρε, οὐκ ἂν συντρίψασα ἡμῖν τὴν χύτραν ἐκχέαι τὸ ἔτνος καὶ τὸ πῦρ ἀποσβέσειε καὶ τοὺς μέλλοντας ἑστιᾶσθαι ἄνευ ὄψου πάνυ[m] γενναίου ποιήσειεν· ἡ[n] δὲ χρυσῆ ἐκείνη πάντ' ἂν ταῦτα ποιήσειεν,
III. 291. ὥστ'[o] ἐμοὶ[p] δοκεῖ[q] τὴν συκίνην ἡμᾶς μᾶλλον φάναι πρέπειν ἢ τὴν χρυσῆν, εἰ μή τι σὺ ἄλλο λέγεις.

§. 25. ΙΠ. Πρέπει[r] μὲν γάρ,[s] ὦ Σώκρατες, μᾶλλον·

ΞΣΥvδr.—[c] ἱππία v.—[d] δὲ v.—[e] αὐτὸ Eς.—[f] τοῦτόν l.—[g] ὃ om r.—[h] πότερον οὖν (οἶ) πρέπει v.—[i] αὕτη v.—[j] εἰ Υ.—[k] βούλοιμι εἰπεῖν Σ.—[l] τοῖν ΓΞv : ταῖν ΘBFl : ταῖν (εἰ) *ς.—[m] ὄψου πάνυ ΓΘBCEFvl : ὄψου ἂν πάνυ *ς.—[n] ἡ...ποιήσειεν om ΓΣΥ : ἣ E.—[o] ὥς γε ΘCδlr.—[p] ἐμοὶ ΣΥ, ἔμοιγε v : μοι *ς.—[q] δοκεῖν v.—[r] πρέπειν ΣΥ.—[s] γε

§. 24. ἔτνους] De voc. ἔτνος vid. Tim. Lex. p. 124. ibiq. Ruhnk. τορύνη est *tudicula, undequaque expansa brachia habens.* Cornar. Eclog. p. 88. ed. Fisch. ita: 'Suidas exponit τορύνην κινητήριον τῆς χύτρας, id est, *instrumentum quo olla movetur.* Et addit, πάνταχοῦ δὲ ἐκτείνεται, ut accipiamus *tudiculam* esse *undiquaque expassa brachia habentem,* quod genus nostri *ein Quirrel* vocant. Et hoc ipsum satis declarat etiam hoc loco Plato. Hippocrates etiam verbo τορυνᾷν usus est pro τῇ τορύνῃ χρῆσθαι, in libro de internis morbis, ubi de volvulis agit.' Ἀμαθὴς autem est *moribus rusticis et illiberalibus homo.* Cf. Hemsterh. ad Aristoph. Plut. p. 382. et mox μέρμερος, *difficilis, morosus, cui non facile satisfacias,* ut h. l. vocabulum declaravit Ruhnk. ad Tim. Lex. p. 178. Heind.

ταῖν τορύναιν] Malim τοῖν τορ. ut §. 25. οἷν ἄρτι ἔλεγον, τοῖν τορύναιν. Heind. ed. 2.

τὴν συκίνην] Mira Sydenhami est ratio, conjectantis τὴν συκαμίνην, propterea quod Theophr. Hist. Plant. iv. 2. συκάμινον appellet ξύλον πρὸς πολλὰ χρήσιμον, ficulneum autem *inutile* sit *lignum.* Horat. Serm. i. 8. Num ad tudiculas quoque faciendas inutile? Imo ob mollitiem, credo, et εὐωδίαν, ut Plato docet, utilissimum. Vilissimum autem memorari hic debebat ligni genus, quod auro opponeretur. Sed suam ipse conjecturam mox oblitus vir optimus infra illa §. 26. ἡ ἐκ τῆς συκῆς εἰργασμένη non tentavit. Heind.

ἄνευ ὄψου] Repetendum ex prægressis ἑστιωμένους. de Rep. ii. p. 372. C. Ἄνευ ὄψου, ἔφη, ὡς ἔοικας, ποιεῖς τοὺς ἄνδρας ἑστιωμένους. Heind.

οὐ μέντ' ἂν ἔγωγε τῷ ἀνθρώπῳ τοιαῦτ'[t] ἐρωτῶντι διαλεγοίμην.

ΣΩ. Ὀρθῶς γε, ὦ φίλε· σοὶ μὲν γὰρ οὐκ ἂν πρέποι[u] τοιούτων ὀνομάτων ἀναπίμπλασθαι, καλῶς μὲν οὑτωσὶ ἀμπεχομένῳ, καλῶς δὲ ὑποδεδεμένῳ,[v] εὐδοκιμοῦντι δὲ ἐπὶ σοφίᾳ ἐν πᾶσι τοῖς[w] Ἕλλησιν. ἀλλ' ἐμοὶ οὐδὲν πρᾶγμα φύρεσθαι πρὸς τὸν ἄνθρωπον· ἐμὲ οὖν προδίδασκε καὶ ἐμὴν χάριν ἀποκρίνου. εἰ γὰρ δὴ πρέπει γε μᾶλλον ἡ συκίνη τῆς[x] χρυσῆς, φήσει ὁ ἄνθρωπος, ἄλλο[y] τι καὶ[z] καλλίων ἂν εἴη, ἐπειδή περ[a] τὸ πρέπον, ὦ Σώκρατες, κάλλιον ὡμολόγησας εἶναι τοῦ μὴ πρέποντος; Ἄλλο τι[b] ὁμολογῶμεν,[c] ὦ Ἱππία, τὴν συκίνην καλλίω τῆς χρυσῆς[d] εἶναι;

ΙΠ. Βούλει σοι[e] εἴπω, ὦ Σώκρατες, ὅ[f] εἰπὼν εἶναι τὸ II. iii. 431.
καλὸν ἀπαλλάξεις[g] αὐτὸν τῶν πολλῶν λόγων;

v.—[t] τοιαῦτ' Γ.—[u] οὐ πρέπει Υ et pr Σ.—[v] δεμένω, in mg ὑποδεδεμένῳ, F: ὑποδεχομένω v.—[w] πλείστοις v.—[x] συκίνη γε τῆς ΞΣ.—[y] ἄλλο...215, 4. ἡρώων om I, cujus inter folia 470 et 471 unum videtur excidisse.—[z] τι ἢ καὶ ΞΣΥ.—[a] ἐπειδὴ περὶ Υ.—[b] τι ἢ ΞΣΥ.—[c] ὁμολογοῦμεν v.—[d] τῆς χρυσῆς καλλίω v.—[e] βούλει οὖν σοι v.
μὴ
—[f] ἢ Σ.—[g] ἀπαλλάξω ΣΥ. σαυτὸν corr Γ. τῶν om Σ.—[h] ἦν v.—[i] ἀποκρίνομαι ΞΥ

§. 25. τοιούτ. ὀνομ. ἀναπίμπλασθαι] *Istiusmodi verbis pollui* ac *fœdari*. Vid. Ruhnk. ad Tim. Lex. p. 31. HEIND.

ἀμπεχομένῳ] Ita solent Græci ἀμπεχόνῃ et ὑποδέσει vestitum universum exprimere. Conf. Xenoph. Mem. i. 2. 5. Charmid. §. 45. et alibi. HEIND.

οὐδὲν πρᾶγμα] *Mihi non est incommodum aut molestum.* Vid. Bud. Comm. L. Gr. p. 165. quæ pervulgata voc. πρᾶγμα vis obtinet etiam in formula illa οὐδὲν πρᾶγμα seu οὐδέν ἐστι πρᾶγμα, dativo non addito, *parvi refert, non in magno ponendum discrimine.* Gorg. p. 447. B. Euthyphr. p. 3. C. et E. Cratyl. p. 393. D. de Legg. vii. p. 794. E. et locis aliis. HEIND.

ἐπειδήπερ] Ante ἐπειδήπερ quædam legit vel legenda censuit et Ficinus. vertit enim, *Pulchriorem respondebis, o Socrates: postquam quod decet, pulchrius quam quod dedecet, es confessus.* Non absimile autem vero fuerit, Hippiam usum fuisse illis postremis verbis, sed absque interrogatione, atque ita dixisse, Καλλίων ἂν εἴη, φήσεις, ἐπειδήπερ etc. vel ita fuisse ab eo mutata, καλλίονα εἶναι φήσεις, ἐπειδήπερ etc. Talis omnino erroris qualis fuerit iste, si dicamus omissa esse a librario hæc vocabula, exemplum habemus in Parmenide, p. 160. nam quum is qui interrogabat dixisset, ἆρ' οὐ σκεπτέον μετὰ τοῦτο, omissum est σκεπτέον quod a respondente dicebatur. STEPH.

ἐπειδήπερ] Vana est suspicio Stephani. Eodem prorsus modo §. 37. Socratis verbis ab Hippia subjiciuntur illa Ἐάν γε, ὦ Σώκρ. ἀγαθὰ δύνηται. Phædo. p. 76. C. Ἦσαν ἄρα, ὦ Σιμμία, αἱ ψυχαὶ καὶ πρότερον, πρὶν εἶναι ἐν ἀνθρώπου εἴδει, χωρὶς σωμάτων, καὶ φρόνησιν εἶχον. Εἰ μὴ ἄρα γιγνόμενοι λαμβάνομεν, ὦ Σώκρατες, ταύτας τὰς ἐπιστήμας. HEIND.

σαυτὸν] Pro αὐτὸν non dubitavi reponere σαυτὸν, flagitante usu sermonis. Nam ἀπαλλάττειν τινὰ, *a se removere aliquem*, quamvis proba sit locutio, v. Casaub. ad Theoph. Char. iii. p. 45. ed. Fisch. velut ἀπαλλάττειν λύπας, ἐπιθυμίας in Platone legitur (conf. Bud. Comm. Gr. L. p. 318.) tamen ἀπαλλάττειν τινά τινος dici non potest nisi qui alterum *a re molesta odiosaque* liberat. Ita post §. 53. ἵνα καὶ ἀπαλλαγῶμεν πλείο-

ΣΩ. Πάνυ μὲν οὖν. μὴ[h] μέντοι πρότερόν γε, πρὶν ἄν μοι εἴπῃς ποτέραν ἀποκρίνωμαι[i] οἷν[j] ἄρτι ἔλεγον τοῖν[k] τορύναιν πρέπουσάν τε[l] καὶ καλλίω εἶναι.

§. 26. ΙΠ. Ἀλλ', εἰ βούλει, αὐτῷ ἀπόκριναι ὅτι ἡ ἐκ τῆς συκῆς εἰργασμένη.

ΣΩ. Λέγε δὴ νυνὶ[m] ὃ ἄρτι ἔμελλες[n] λέγειν. ταύτῃ[o] μὲν γὰρ τῇ ἀποκρίσει ᾗ ἂν φῶ τὸ καλὸν χρυσὸν εἶναι, οὐδὲν ὡς ἔοικέ μοι ἀναφανήσεται κάλλιον ὂν[p] χρυσὸς ἢ ξύλον σύκινον·[q] τὸ δὲ νῦν τί αὖ λέγεις[r] τὸ καλὸν εἶναι;

ΙΠ. Ἐγώ σοι ἐρῶ. ζητεῖν γάρ μοι δοκεῖς τοιοῦτόν[s] τι τὸ καλὸν ἀποκρίνασθαι, ὃ μηδέποτε αἰσχρὸν μηδαμοῦ μηδενὶ φανεῖται.

ΣΩ. Πάνυ μὲν οὖν, ὦ Ἱππία· καὶ καλῶς γε νῦν ὑπολαμβάνεις.

ΙΠ. Ἄκουε δή. πρὸς γὰρ τοῦτ',[t] ἴσθι, ἐάν τις ἔχῃ ὅ τι ἀντείπῃ, φάναι ἐμὲ μηδ' ὁτιοῦν ἐπαΐειν.[u]

ƀ.—[j] οἷον ΣΥƀ.—[k] ταῖν ΣΥƀ.—[l] γε Γ.—[m] νῦν ΞΣΥυ.—[n] ἔμελλε Σ.—[o] πάντῃ Γ. —[p] ὃ ΣΥ : ἢ suppl Γ.—[q] σύκινον πετὸ δὲ νῦν τί αὖ λέγεις τὸ καλὸν εἶναι οὐδὲν ὡς ἔοικέ μοι ἀναφανήσεται ριττὸν ὤν χρυσὸς ἢ ξύλον σύκινον ι.—[r] αὖ λέγεις ΓΘΞΣΒCυ ƀl, ἂν λέγῃς ΥF : ἂν λέγοις *ς.—[s] τοιοῦτό Υ.—[t] τοῦτ' Γ.—[u] ἐπαΐειν υ et γρ Ξ :

νος ζητήσεως. Theag. p. 127. B. καί με πολλῶν καὶ φοβερῶν ἀπαλλάξατε φροντίδων. Gorg. p. 458. A. μεῖζον ἀγαθόν ἐστιν, αὐτὸν ἀπαλλαγῆναι κακοῦ τοῦ μεγίστου, ἢ ἄλλον ἀπαλλάξαι. Aristoph. Plut. v. 115. Οἶμαι—Ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας. Sed piget, plura afferre. Unum addo locum, scripturæ nostræ simillimum, Theætet. p. 185. E. εὖ ἐποίησάς με μάλα συχνοῦ λόγου ἀπαλλάξας. Heind.

§. 26. κάλλιον ὂν] Nemo non dixerit scribendum esse κάλλιον ὢν χρυσὸς, quum ita intelligi sit necesse ut si dictum esset, χρυσὸς ὢν οὐδὲν κάλλιον: exemplo tamen lectio illa nostra carere non videtur. Steph.

κάλλιον ὂν] Facile cum Stephano corrigas ὢν, sed ὂν illud exemplis defendo ad §. 43. Heind.

μηδενὶ] Est dativus commodi ad αἰσχρὸν pertinens. Heind.

ἄκουε δὴ] ἄκουε δὴ, etc. ab Hippia dici arbitror: a Socrate autem ista, Λέγε δὴ ὡς τάχιστα πρὸς θεῶν. Steph. qui sic in Not. 'Hæc dici ab Hippia, non a Socrate, rationi consentaneum est, Ἄκουε δή. πρὸς γὰρ etc. a Socrate autem illa, λέγε δὴ ὡς τάχιστα πρὸς θεῶν. Postquam enim dixit Hippiæ Socrates, *Tu tandem recte mentem meam percipis, et quod genus καλοῦ quæram intelligis:* Hippias, qui sibi videtur id illi propositurus, cui contradici a nullo possit, dicit, *Audi igitur:* et Socrates, qui magno illud audiendi desiderio tenetur, illum ne cunctetur id proferre, rogat.'

ἄκουε δὴ—ἐπαΐειν] Vulgo hæc verba Socrati tribuuntur, prorsus inepte, ut vidit Muret. Var. Lectt. v. 4. optime de hoc loco meritus. Ex ejus enim itemque Cornarii indubitata correctione revocavi ἐπαΐειν pro vulgato ἐπαινεῖν, quod male Stephanus tuetur intelligendo: *quod laudem tanquam καλὸν, seu, cui illam καλοῦ laudem tribuendam censeam vel τοῦ καλὸν εἶναι.* Tum saltem scripsisset Plato μηδ' ὁτιοῦν ἔχειν ἐπαινεῖν, quanquam sic quoque dure admodum subaudienda illa ὡς καλόν. Emendati loci sententiam interpretatur Muretus l. l. *Ausculta igitur. Adversus id enim, quod nunc afferam, si quis quod dicere possit habeat, scito me fassurum, nullius me omnino*

ΣΩ. Λέγε δὴ ὡς[v] τάχιστα πρὸς θεῶν.

ΙΠ. Λέγω τοίνυν ἀεὶ καὶ παντὶ καὶ πανταχοῦ κάλ-
λιστον εἶναι ἀνδρὶ πλουτοῦντι, ὑγιαίνοντι, τιμωμένῳ ὑπὸ
τῶν Ἑλλήνων, ἀφικομένῳ εἰς γῆρας, τοὺς αὑτοῦ γονέας τε- II. iii. 432.
λευτήσαντας καλῶς περιστείλαντι ὑπὸ τῶν αὑτοῦ ἐκγόνων[w]
καλῶς καὶ μεγαλοπρεπῶς ταφῆναι.

ΣΩ. Ἰοὺ ἰού, ὦ Ἱππία, ἦ[x] θαυμασίως καὶ μεγάλως[y]
καὶ ἀξίως σαυτοῦ εἴρηκας· καὶ νὴ τὴν Ἥραν ἄγαμαί σου,
ὅτι μοι δοκεῖς εὐνοϊκῶς καθ' ὅσον[z] οἷός[a] τ' εἶ βοηθεῖν. ἀλ-
λὰ γὰρ τοῦ ἀνδρὸς οὐ τυγχάνομεν, ἀλλ' ἡμῶν δὴ νῦν[b] καὶ
πλεῖστον καταγελάσεται, εὖ ἴσθι.

§. 27. ΙΠ. Πονηρόν γ', ὦ Σώκρατες, γέλωτα· ὅταν
γὰρ πρὸς ταῦτα ἔχῃ μὲν μηδὲν ὅ τι λέγῃ,[c] γελᾷ δέ, αὐ-
τοῦ καταγελάσεται καὶ ὑπὸ τῶν παρόντων αὐτὸς ἔσται III. 292.
καταγέλαστος.

ΣΩ. Ἴσως οὕτως ἔχει· ἴσως μέντοι ἐπί γε ταύτῃ τῇ
ἀποκρίσει, ὡς ἐγὼ μαντεύομαι, κινδυνεύσει οὐ μόνον [d]μου
καταγελᾶν.

ἐπαινεῖν *ς.—[v] δή τι ὡς suppl Γ.—[w] ἐγγόνων ɤ.—[x] ὡς Elς.—[y] μεγαλείως Υɩƅ, recte, ut opinor.—[z] καθόσον γ' οἷός Υ.—[a] οἷς Σ.—[b] νῦν δὴ ƅ.—[c] λέγει Υ.—[d] ἀλλὰ

rei gnarum atque intelligentem esse. Heind.

φάναι] Paulo aliter hæc legisse aut legenda censuisse videtur Fic. et quidem inter alia, καὶ φάναι. Ita enim eum vertit, *Audi modo: et vide si quis contra hoc objicere possit, dicereque nihil me laudare posse.* At ego recte scriptum esse locum istum existimo, sed non recte interpretatum. Hunc enim ejus esse puto sensum, *Audi igitur: et quidem ita habeto, siquis inveniat quod possit opponere iis quæ a me dicentur, me dicturum nihil jam esse quod laudem.* Intellige autem, 'Quod laudem tanquam καλόν:' sive, 'Cui illam καλοῦ laudem tribuendam censeam,' vel, τοῦ καλὸν εἶναι. Q. d. 'Videor mihi tandem tale καλοῦ exemplum invenisse, ut nullus mihi de eo possit contradicere: quod si contingat, silentium mihi impositum fuerit; fatebor enim nihil jam posse mihi in mentem venire quod tanquam καλοῦ appellatione dignum laudare queam.' Non aliter igitur sunt accipienda verba quam si ita collocata essent, ἴσθι γὰρ, ἐάν τις ἔχῃ ὅ,τι ἀντείπῃ πρὸς τοῦτο, φάναι ἐμὲ etc. Quod autem ad particulam γὰρ attinet, ab hoc loco alienam judicarunt interpretes, ut certe primo aspectu ab eo videtur esse aliena: sed quædam extrinsecus subaudiri possunt (ut opinor) quæ illam usum aliquem habere ostendant. Veluti si dicamus perinde esse acsi dictum fuisset, 'Audi igitur καλοῦ exemplum, dignissimum quod a te audiatur, et quod tibi satisfacturum spero. nam tale est ut siquis etc. Addo autem hic exempli appellationem (sicut et paulo ante) expositionis gratia. Steph.

καλῶς περιστείλαντι] εὖ περιστεῖλαι et καλῶς in talibus adhiberi monuit, adhibito hoc loco, Valcken. ad Herodot. vi. 30. περιστέλλειν autem, *pollingere*, omnem significat curam, quam pollinctores cadaveribus adhibent, membra collocare, ungere, componere faciem, fasciis obvolvere, vestes pretiosas induere. Verba sunt Gisb. Cuperi Obss. ii. 9. Mox de structura τοῦ ἄγαμαι v. Ruhnk. ad Tim. Lex. p. 8. et Pierson. ad Mœrid. p. 1. Heind.

ΙΠ. Ἀλλὰ τί μήν;

ΣΩ. Ὅτι,[d] ἂν τύχῃ βακτηρίαν ἔχων, ἂν μὴ ἐκφύγω[e] φεύγων αὐτόν, εὖ μάλα μου ἐφικέσθαι[f] πειράσεται.

ΙΠ. Πῶς λέγεις; δεσπότης τίς σου ὁ ἄνθρωπός ἐστι; καὶ τοῦτο ποιήσας οὐκ ἀχθήσεται[g] καὶ δίκας ὀφλήσει;[h] ἢ οὐκ ἔνδικος ὑμῖν ἡ πόλις ἐστιν, ἀλλ' ἐᾷ[i] ἀδίκως τύπτειν ἀλλήλους τοὺς πολίτας;

ΣΩ. Οὐδ' ὁπωστιοῦν ἐᾷ.

ΙΠ. Οὐκοῦν δώσει δίκην ἀδίκως γέ σε τύπτων.

II. iii. 433. ΣΩ. Οὔ μοι δοκεῖ, ὦ Ἱππία, οὔκ, εἰ ταῦτά γε ἀποκριναίμην, ἀλλὰ δικαίως, ἔμοιγε δοκεῖ.[j]

ΙΠ. Καὶ ἐμοὶ τοίνυν δοκεῖ, ὦ Σώκρατες, ἐπειδή πέρ γε[k] αὐτὸς ταῦτα οἴει.

ΣΩ. Οὐκοῦν εἴπω[l] σοι καὶ ᾗ αὐτὸς οἴομαι δικαίως ἂν τύπτεσθαι ταῦτα ἀποκρινόμενος; ἢ καὶ σύ με ἄκριτον τυπτήσεις; ἢ δέξει λόγον;[m]

ΙΠ. Δεινὸν γὰρ ἂν εἴη,[n] ὦ Σώκρατες, εἰ μὴ δεχοίμην. ἀλλὰ πῶς λέγεις;

§. 28. ΣΩ. Ἐγώ σοι ἐρῶ τὸν αὐτὸν τρόπον ὅν περ νῦν δή,[o] μιμούμενος ἐκεῖνον, ἵνα μὴ πρὸς σὲ λέγω ῥήματα οἷα ἐκεῖνος εἰς ἐμὲ ἐρεῖ, χαλεπά τε καὶ ἀλλόκοτα. εὖ γὰρ ἴσθι, Εἰπέ μοι, φήσει, ὦ Σώκρατες, οἴει ἂν ἀδίκως πληγὰς λαβεῖν, ὅς τις διθύραμβον τοσουτονὶ[p] ᾄσας οὕτως ἀμούσως πολὺ ἀπῄσας[q] ἀπὸ τοῦ ἐρωτήματος; Πῶς δή;[r] φήσω[s] ἐγώ.

τί μήν; ὅτι] ἀλλότι ƀ.—[e] ἐκφύγω (ε supra) Ɩ.—[f] ἀφικέσθαι Γ.—[g] ἀχθεσεται B, ἀχθέσεται (ή supra) ΓΣƖ.—[h] ὀφελήσει v, ὀφελήσει (λ infra) F.—[i] ἐὰν v.—[j] δοκεῖ om F.—[k] γε add ΓΞΥrƀ. —[l] εἴπω...δέξει rc mg EF.—[m] λέξεις v.—[n] εἰ...218, 15. σώκρατες om Υ.—[o] δὴ om ΘƖ. —[p] τοσοῦτον v.—[q] ἀπῆρας mg F.—[r] ἂν δή v.—[s] φήσω ΓΘΞΣBCFrƀƖ: φράσω *ς.

§. 27. *οὐκ ἀχθήσεται;*] *Nonne in jus rapietur?* Derivatur enim hoc *ἀχθήσεται ἀπὸ τοῦ ἄγεσθαι.* vid. Pierson. ad Mœr. p. 21. Heind.

οὔ μοι δοκεῖ, ὦ Ἱππ. οὔκ, εἰ] Sympos. p. 199. A. *οὐ γὰρ ἂν δυναίμην, οὐ μέντοι.* Theæt. p. 177. D. *Μὴ λεγέτω τὸ ὄνομα, ἀλλὰ τὸ πρᾶγμα, ὃ ὀνομαζόμενον θεωρεῖται· μὴ γάρ.* Seneca de Benef. vii. 25. 'Non est ista admonitio, non; convicium est.' Conf. Manut. ad Cic. ad Att. x. 9. Heind.

§. 28. *ἐγώ σοι ἐρῶ, τὸν αὐτὸν τρόπ.*] Distinxi post *ἐρῶ*, ut verba *τὸν αὐτ. τρόπον* trahantur ad *μιμούμενος*, et illa *ἵνα μὴ* etc. epexegesin quandam faciant; alioquin hæc *μιμούμενος ἐκεῖνον* admodum frigent. In seqq. *διθύραμβον τοσουτονὶ* cum irrisione dictum, ut est in illo *Διθυραμβοποιῶν νοῦν ἔχεις ἐλάττονα* apud Suid. v. Toup. Epist. Crit. t. ii. p. 528. Heind.

ἀπῄσας] Non dubium est quin *ἀπῄσας* ab *ἀπᾴδω* scribendum sit, ut in editione

Ὅπως; φήσει· οὐχ οἷός τ' εἶ μεμνῆσθαι[t] ὅτι τὸ καλὸν αὐτὸ ἠρώτων, ὃ παντὶ ᾧ ἂν προσγένηται, ὑπάρχει ἐκείνῳ καλῷ[u] εἶναι, καὶ λίθῳ καὶ ξύλῳ καὶ ἀνθρώπῳ καὶ θεῷ[v] καὶ ἁπάσῃ[w] πράξει καὶ παντὶ μαθήματι; αὐτὸ γὰρ ἔγωγε, ὦ ἄνθρωπε,[x] κάλλος ἐρωτῶ ὅ τι ἔστι, καὶ οὐδέν σοι μᾶλλον γεγωνεῖν δύναμαι ἢ εἴ μοι παρεκάθησο[y] λίθος, καὶ οὗτος μυλίας, μήτε[z] ὦτα[a] μήτ' ἐγκέφαλον ἔχων. Εἰ οὖν II. iii. 434.
φοβηθεὶς εἴποιμι ἐγὼ ἐπὶ τούτοις[b] τάδε, ἆρα[c] οὐκ ἂν ἄχθοιο, ὦ Ἱππία; Ἀλλὰ μέντοι τόδε τὸ καλὸν εἶναι Ἱππίας ἔφη· καί τοι ἐγὼ αὐτὸν ἠρώτων οὕτως ὥς περ σὺ ἐμέ, ὃ πᾶσι καλὸν καὶ ἀεί[d] ἐστι. Πῶς οὖν σὺ[e] φῄς; οὐκ ἀχθέσει[f] ἂν εἴπω ταῦτα;

§. 29. ΙΠ. Εὖ γ' οὖν[g] οἶδα, ὦ Σώκρατες, ὅτι πᾶσι καλὸν τοῦτ' ἐστὶν ὃ ἐγὼ εἶπον, καὶ δόξει.

ΣΩ. Ἦ καὶ ἔσται; φήσει· ἀεὶ γάρ που καλὸν[h] τό γε καλόν.

ΙΠ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν καὶ ἦν; φήσει.

ΙΠ. Καὶ ἦν.

—[t] μνησθῆναι r.—[u] καλὸν Θl.—[v] θείῳ r.—[w] πάσῃ ΞΣ.—[x] ὤνθρωπε 𝔡.—[y] παρεκάθισο ΞF.—[z] μήτε....ἆρα om Σ.—[a] νοῦν r.—[b] τούτοις ΞCEF: τούτους *s.—[c] ἆρ' r.—[d] ἀεί ΘΣCFrl: αἰεί s.—[e] σὺ add Θl.—[f] ἀχθέσει r, ἀχθέσῃ ΓΘBC𝔡l, ἀχθεσθήσῃ ΞΣ: ἀχθήσῃ *s.—[g] γοῦν r𝔡.—[h] καλὸν om ΓΘΣBCEFr𝔡l.—[i] εἰ ἢ r.

Ald. legitur (præsertim quum præcedat ᾄσας) non ἀπῆρας, ut in illa Basiliensi. Sic vero et futurum hujus ipsius verbi depravatum alibi invenitur. nam in Timæo, p. 26. ubi ἀπωσόμεθα in præced. editionibus scriptum est (ex quo nullus loco illi aptus sensus potest elici) scribendum esse ἀπᾳσόμεθα, mihi omnes assensuros puto. Quinetiam (adeo nonnulla vocabula præ aliis depravationi sunt obnoxia) tertio quodammodo depravatum hoc ipsum verbum alibi invenitur. STEPH.

ἀπῄσας] Bas. 1. et 2. ἀπῆρας, vitiose.—Ὅπως; φήσει—Elegans est in iterata hac interrogatione quotidiani sermonis imitatio. de Legg. ii. p. 662. A. Καὶ πῶς ἂν ταῦτά γ' ἔτι ξυγχωροῖμεν; ΑΘ. Ὅπως; εἰ θεὸς ἡμῖν—δοίη τις συμφωνίαν. Euthyphr. p. 2. B. ἀλλὰ δὴ τίνα γραφήν σε γέγραπται; Σ. Ἥντινα; οὐκ ἀγεννῆ, ἔμοιγε δοκεῖ. Conf. Aristoph. Thesm. 210. HEIND.

τούτους] Alia est lectio τούτοις, quæ potior videtur. Fic. ita vertit acsi legeretur πρὸς ταῦτα. Paulo ante scriptum est etiam ἀχθεσθήσῃ. STEPH.

ἐπὶ τούτοις] Sic vere Bas. 2. addicente Ficino: *ad hæc*. Vulgo τούτους. Post paullo ibid. ἀχθεσθήσῃ pro ἀχθέσῃ, (nam hoc restitui pro ἀχθήσῃ, Piersonum ad Mœrid. p. 21. secutus), minus Ἀττικῶς. vid. ibi Pierson. HEIND.

§. 29. πᾶσι καλὸν τοῦτ' ἐστὶ—καὶ δόξει] Sydenhamo, πᾶσιν hoc non satis intelligenti, redundare videbantur illa καὶ δόξει. Sed πᾶσι pendet a verbo καλὸν, non ab illo ἐστὶ, et est πᾶσι καλὸν id, *quod omnibus decoris et pulchritudinis speciem tribuit*; velut mox ὃς παντὶ φῂς καὶ αἰεὶ καλὸν εἶναι. Conf. §. 26. 30. init. HEIND.

ΣΩ. Ἦ[i] καὶ τῷ Ἀχιλλεῖ, φήσει, ὁ ξένος ὁ Ἠλεῖος ἔφη καλὸν εἶναι ὑστέρῳ τῶν προγόνων ταφῆναι, καὶ τῷ πάππῳ αὐτοῦ Αἰακῷ, καὶ τοῖς ἄλλοις ὅσοι ἐκ θεῶν γεγό-
III. 293. νασι, καὶ αὐτοῖς τοῖς θεοῖς;

ΙΠ. Τί τοῦτο; βάλλ' ἐς μακαρίαν! τοῦ ἀνθρώπου οὐδ' εὔφημα, ὦ Σώκρατες, ταῦτά γε τὰ ἐρωτήματα.

ΣΩ. Τί δαί;[j] τὸ[k] ἐρομένου[l] ἑτέρου[m] φάναι ταῦθ'[n] οὕτως ἔχειν οὐ πάνυ δύσφημον;

ΙΠ. Ἴσως.[o]

ΣΩ. Ἴσως τοίνυν σὺ εἶ οὗτος, φήσει, ὃς παντὶ φῂς καὶ
II. iii. 435. ἀεὶ[p] καλὸν εἶναι ὑπὸ μὲν τῶν ἐκγόνων ταφῆναι, τοὺς δὲ γονέας θάψαι. ἢ οὐχ εἷς τῶν ἁπάντων καὶ Ἡρακλῆς ἦν καὶ οὓς νῦν δὴ ἐλέγομεν[q] πάντες;

ΙΠ. Ἀλλ' οὐ τοῖς θεοῖς ἔγωγε ἔλεγον.

ΣΩ. Οὐδὲ τοῖς ἥρωσιν, ὡς ἔοικας.

ΙΠ. Οὐχ ὅσοι γε θεῶν παῖδες ἦσαν.

—[j] δαὶ ΓΘΞΣBC, γε *v*.—[k] τῶ, in mg τὸ, F.—[l] ἐρομένου Ficinus, ἐρωτώμενον *v*, ἐρωτωμένου *ϛ.—[m] ἑτέρου om pr Ξ.—[n] ταῦθ' Γ.—[o] ἴσως om *v*.—[p] ἀεὶ ΓΘΞΣC.—

βάλλ' ἐς μακαρίαν] Hæc verba *βάλλ' ἐς μακαρίαν* videntur per parenthesin interjecta: ideoque legendum esse, *Τί τοῦτο, (βάλλ' ἐς μακαρίαν) τοῦ ἀνθρώπου;* STEPH.

τί τοῦτο; βάλλ' ἐς μακαρίαν· τοῦ ἀνθρ.] Hæc *βάλλ' ἐς μακ.* per parenthesin interjecta esse, bene animadvertit Stephanus; sed idem quod genit. *τοῦ ἀνθρώπου* ad *τοῦτο* traxit, in eo usum sermonis neglexit. Latini dicunt: *quid hoc hominis?* Græci non item, ne quid dicam de ipsa verborum structura, absone tum interrupta. Imo *τοῦ ἀνθρ.* manifesto pertinet ad seq. *τὰ ἐρωτήματα*, quod Cornarium quoque fefellit; neque vulgatam distinctionem mutavit Ruhnk. ad Lex. Tim. p. 59. Formula hæc *βάλλ' ἐς μακαρίαν* (F. *Μακαρ.*) *in malam crucem*, unde originem duxerit, non constat; vulgo trahunt ad Macariam, Herculis ex Deïanira filiam, quæ pro salute fratrum Atheniensiumque mortem oppetens fonti Macariæ in Marathone nomen dedit. vid. Lex. Tim. p. 59. ibiq. not. Conf. Schol. Plat. p. 134. HEIND.

ἐρωτωμένου] Fic. quoque ita vertit quasi *ἐρωτῶντος* legerit, aut *ἐρωτωμένου* pro *ἐρωτῶντος* posse accipi crediderit: quem tamen passivæ vocis pro activa usum in illo verbo alibi inveniri vix crediderim. STEPH.

τὸ ἐρωτωμένου ἑτέρου] Quid hoc est: *quando alius interrogatur?* Istud *ἑτέρου* utro trahendum, ad Socratemne an ad Hippiam? Bene Ficinus sententiam, qua hic opus est, expressit: *percontante alio hæc asserere, non valde profanum?* Atque sic procedere debebit sine dubio Socratis argumentatio: *impietatis*, inquiet, *Hippia, incusas eum, qui illa δύσφημα ἐρωτήματα proponat. At vero num minus impie faciet, qui ad istiusmodi interrogata affirmate respondere, ea, quam protulit, sententia cogetur? Tuum igitur potius istud est impietatis crimen.* Legendum igitur aut *τὸ ἐρωτώμενον ὑφ' ἑτέρου του*, aut, quod malim: *τὸ ἐρομένου τοῦ ἑτέρου, percontante altero.* Atque *ἐρομένου* pro *ἐρωτωμένου* conjecit jam Bipontinus editor, idque eodem modo cum altero a librariis permutatum in Menone p. 75. D. ubi cum Cornario legendum *ὧν ἂν προσομολογῇ εἰδέναι ὁ ἐρόμενος.* HEIND.

ΣΩ. Ἀλλ' ὅσοι μή;

ΙΠ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν κατὰ τὸν σὸν αὖ λόγον, ὡς φαίνεται, τῶν ἡρώων τῷ μὲν Ταντάλῳ καὶ τῷ Δαρδάνῳ καὶ τῷ Ζήθῳ δεινόν τε καὶ ἀνόσιον καὶ αἰσχρόν ἐστι,[r] Πέλοπι δὲ καὶ τοῖς ἄλλοις τοῖς οὕτω γεγονόσι καλόν.

§. 30. ΙΠ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Σοὶ τοίνυν δοκεῖ, φήσει,[s] ὃ ἄρτι οὐκ ἔφησθα, τὸ[t] θάψαντι τοὺς προγόνους ταφῆναι ὑπὸ[u] τῶν ἐκγόνων[v] ἐνίοτε καὶ ἐνίοις αἰσχρὸν εἶναι· ἔτι δὲ μᾶλλον, ὡς ἔοικεν, ἀδύνατον πᾶσι τοῦτο[w] γενέσθαι καὶ εἶναι καλόν, ὥς τε τοῦτό γε, ὥς περ καὶ τὰ ἔμπροσθεν ἐκεῖνα,[x] ἥ τε παρθένος καὶ ἡ χύτρα, ταὐτὸν πέπονθε, καὶ ἔτι[y] γελοιοτέρως τοῖς μέν ἐστι καλόν, τοῖς δ' οὐ καλόν.[z] καὶ οὐδέπω καὶ τήμερον, φήσει, οἷός τ' εἶ, ὦ Σώκρατες, περὶ τοῦ καλοῦ ὅ τι ἔστι, τὸ ἐρωτώμενον ἀποκρίνασθαι.[a] Ταῦτά μοι καὶ τοιαῦτα[b] ὀνειδιεῖ δικαίως, ἐὰν αὐτῷ οὕτως ἀποκρίνωμαι.

Τὰ μὲν οὖν πολλά, ὦ Ἱππία, σχεδόν τί μοι οὕτω δια- II. iii. 436.
λέγεται· ἐνίοτε δ' ὥς περ ἐλεήσας μου τὴν ἀπειρίαν καὶ ἀπαιδευσίαν[c] αὐτός μοι προβάλλει ἐρωτῶν εἰ τοιόνδε μοι

[q] νῦν διελέγομεν v.—[r] ἐστὶ om Θl.—[s] φησὶν v.—[t] τῷ Γr et corr F, τὸ τῷ v.—[u] ὕστερον suppl Γ.—[v] ἐγγόνων v.—[w] τοῦτο πᾶσι Γv.—[x] κεῖνα ΘΣBClr.—[y] καὶ ἔτι ΓΘΞΣBCrblr : καίτοι *s.—[z] τοῖς δ' οὐ καλόν om r.—[a] ἀποκρίνεσθαι F.—[b] καὶ τοιαῦτα ΓΞΣBCrbl : καὶ τὰ τοιαῦτα *s.—[c] καὶ τὴν ἀπαιδευσίαν Θl.—[d] τὸ καλὸν δοκεῖ

τῷ μὲν Ταντάλῳ—Ζήθῳ] Ut Jovis filiis. Tantalus enim Jovis et Plutonis seu Plutus filius. Hygin. Fab. 82. ibiq. Munck. Dardanus Jovis ex Electra, Atlantis filia. vid. ibid. Fab. 155. Apollod. iii. 12. 1. Servius ad Virg. Æn. vii. 206. Zethus Jovis cum Amphione ex Antiopa filius. Hygin. Fab. 155. Apollod. iii. 10. 1. Pelops contra Tantali filius et Diones, Atlantis filiæ, quanquam de matre non constat. v. Hygin. Fab. 83. ibiq. Muncker. *τοῖς οὕτω γεγονόσι—οὕτω* i. e. *parentibus mortalibus*. Heind.

§. 30. *ἡ χύτρα*] In his Sydenhami commentum [quod probat Bip.] pro ἡ χύτρα legentis ὁ χρυσὸς, refutare non attinet. Conf. §. 20. Heind.

προβάλλει] Aliud (ut opinor) legit aut legendum censuit Fic. quam *προβάλλει*, qui vertit *occurrit*. Aliquis autem fortasse, quum sequatur hic *ἐρωτῶν*, et dicatur *προβάλλειν ἐρώτημα*, eam significationem habere putet a qua dicuntur philosophorum *προβλήματα*: sed opus esset aliquo accusativo: præterea cur aliquam quæstionem proponere, esset ejus qui *τὴν ἀπειρίαν καὶ ἀπαιδευσίαν* miserari diceretur? Faciunt certe hæc ut *προβάλλει* quidem retinendum sed *μοι* in *με* mutandum censeam: ut nimirum *προβάλλει με* idem valeat quod *προβιβάζει*, quum *προβιβάζειν* sit ejus qui aliquem adjuvat: ideoque apte dicatur de illo qui alicujus miseretur. Hic autem de quo loquitur Socrates eum *προεβίβαζεν*, quum ipsum, plane alioqui hærentem, jubebat considerare saltem annon hoc vel illud tale esset ut de eo dici posset illud de quo quæstio erat, sive *περὶ τοῦ καλοῦ* sive de alia quapiam

δοκεῖ εἶναι τὸ καλόν,[d] ἢ καὶ περὶ ἄλλου ὅτου ἂν[e] τύχῃ[f] πυνθανόμενος καὶ περὶ οὗ ἂν λόγος[g] ᾖ.[h]

§. 31. ΙΠ. Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες;[i]

ΣΩ. Ἐγώ σοι φράσω. Ὦ δαιμόνιε, φησί, Σώκρατες, τὰ μὲν τοιαῦτα[j] ἀποκρινόμενος καὶ οὕτω παῦσαι· λίαν γὰρ εὐήθη[k] τε καὶ εὐεξέλεγκτά[l] ἐστιν· ἀλλὰ τὸ τοιόνδε σκόπει, εἴ σοι δοκεῖ καλὸν εἶναι οὗ καὶ νῦν δὴ ἐπελαβόμεθα ἐν τῇ ἀποκρίσει, ἡνίκ' ἔφαμεν τὸν χρυσόν, οἷς μὲν πρέπει, καλὸν εἶναι, οἷς δὲ μή, οὔ, καὶ τἆλλα[m] πάντα[n] οἷς ἂν τοῦτο προσῇ. αὐτὸ δὴ τοῦτο τὸ πρέπον καὶ τὴν φύσιν αὐτοῦ τοῦ[o] πρέποντος σκόπει, εἰ τοῦτο τυγχάνει ὂν τὸ καλόν. Ἐγὼ μὲν οὖν εἴωθα συμφάναι τὰ τοιαῦθ'[p] ἑκάστοτε· οὐ γὰρ ἔχω ὅ τι λέγω· σοὶ δ' οὖν δοκεῖ[q] τὸ πρέπον καλὸν εἶναι;

ΙΠ. Πάντως δή που, ὦ Σώκρατες.

εἶναι 𝔯.—[e] ἂν om Γ.—[f] τύχοι ΥΕς.—[g] ἂν ὁ λόγος 𝔩𝔯: articulo utique opus.—[h] ἦν 𝔩.—[i] σωκράτης Σ.—[j] μὲν οὖν τοιαῦτα Σ.—[k] εὐ υ.—[l] εὐξέως λεγκτὰ 𝔩.—[m] τἄλλα... σκόπει om Σ.—[n] τἆλλα πάντα ΓΘBCEF𝔯𝔡𝔩𝔯: τἄλλα δὴ πάντα *ς.—[o] τοῦ om 𝔯.—

re quærebatur. nam ita intelligenda sunt hæc, ἢ καὶ περὶ ἄλλου ὅτου ἂν τύχοι πυνθανόμενος, καὶ περὶ οὗ ἂν λόγος ᾖ. Nam si (exempli gratia) περὶ τοῦ καλοῦ interrogaverat, illum jubebat considerare annon videretur illi ἡ φύσις αὐτοῦ τοῦ πρέποντος esse illud τὸ καλόν: si autem quæstionem aliquam περὶ τοῦ δικαίου moverat, itidem aliquid illi considerandum proponebat, cujus consideratione ipsum ad respondendum velut προεβίβαζεν. STEPH.

αὐτός μοι προβάλλει ἐρωτῶν] Ficin. *ipse mihi occurrit.* Ex quo non debebat Stephanus de scriptura loci existimare, nodum hic in scirpo quærens. Nempe opus esse ait accusativo aliquo ad προβάλλει: præterea cur aliquam quæstionem proponere esset ejus, qui τὴν ἀπειρίαν et ἀπαιδευσίαν miserari diceretur? Retento igitur προβάλλει, mutandum esse μοι in με, ut προβάλλει idem sonaret, quod προβιβάζει με, *adjuvat me.* Ne Græcum quidem hoc est, neque ulla egent hæc mutatione, nisi quod in verbis καὶ περὶ οὗ ἂν ὁ λόγος ᾖ art. ὁ, vulgo omissum, restitui. (Conf. §. 55.) Accusativus ad προβάλλει, si quo omnino est opus, latet in seqq. his ἐρωτῶν εἰ τοιόνδε etc. atque προβάλλει ἐρωτῶν idem est q. d. προβάλλει ἐρωτήματα τοιαῦτα εἰ—*non in universum me interrogat, quid sit pulchrum vel aliud aliquid, de quo agitur, sed ut fluctuantem me et hallucinantem aliquando in viam reducat, certa mihi quædam proponit rerum genera, quærens, an hoc illudve esse putem pulchritudinem vel aliud aliquid, v. c. an sit* τὸ καλὸν *idem, quod* τὸ πρέπον. HEIND.

ὅτου ἂν τύχῃ] Ita scripsi pro vulg. τύχοι. HEIND. ed. 2.

§. 31. τὸ τοιόνδε σκόπει—καλὸν εἶναι] Exspectabas potius τὸ καλὸν, ut mox, ubi hæc iteratur sententia, αὐτὸ δὴ τοῦτο τὸ πρέπον—σκοπεῖ εἰ τοῦτο τυγχάνει ὂν τὸ καλὸν, neque hic quæritur, an τὸ πρέπον pulchrum sit, sed an ipsa pulchritudo, αὐτὸ τὸ καλὸν seu τὸ καλὸν, idem sit, quod τὸ πρέπον. Sed eodem modo paullo post: σοὶ δ' οὖν δοκεῖ τὸ πρέπον καλὸν εἶναι; et cf. §. 33. D. 34. C. 35. E. Illud οὗ post εἶναι pertinet ad prægressum τοιόνδε—. καὶ τἄλλα δὴ πάντα sc. καλὰ εἶναι. Tum in seqq. οἷς ἂν τοῦτο προσῇ hoc τοῦτο est τὸ πρέπον, quod latebat in prægressis οἷς μὲν πρέπει. HEIND.

ΣΩ. Σκοπώμεθα μή[r] πῃ ἄρ'[s] ἐξαπατώμεθα.

ΙΠ. Ἀλλὰ χρὴ σκοπεῖν.

ΣΩ. Ὅρα τοίνυν. τὸ πρέπον ἆρα τοῦτο λέγομεν ὃ πα- III. 294.
ραγενόμενον ποιεῖ ἕκαστα φαίνεσθαι καλὰ τούτων οἷς ἂν παρῇ, ἢ ὃ εἶναι ποιεῖ, ἢ οὐδέτερα[t] τούτων;

ΙΠ. Ἔμοιγε δοκεῖ. II. iii. 437.

ΣΩ. Πότερα ὃ ποιεῖ[u] φαίνεσθαι[v] καλά, ὥς πέρ γε ἐπειδὰν ἱμάτιά τις λάβῃ ἢ ὑποδήματα ἁρμόττοντα, κἂν ᾖ γελοῖος, καλλίων φαίνεται; [§. 32.] Οὐκοῦν εἴ περ καλλίω ποιεῖ φαίνεσθαι ἢ ἔστι τὸ πρέπον, ἀπάτη τις ἂν εἴη περὶ[w] τὸ καλὸν τὸ πρέπον, καὶ οὐκ ἂν εἴη τοῦτο ὃ ἡμεῖς ζητοῦμεν, ὦ Ἱππία; ἡμεῖς γάρ[x] που ἐκεῖνο ζητοῦμεν[y] ᾧ πάντα τὰ[z] καλὰ πράγματα καλά ἐστιν,[a] ὥς περ ᾧ πάντα τὰ μεγάλα ἐστὶ μεγάλα, τῷ ὑπερέχοντι.[b] τούτῳ γὰρ πάντα μεγάλα[c] ἐστί, καὶ ἂν[d] μὴ φαίνηται, ὑπερέχῃ δέ, ἀνάγκη αὐτοῖς μεγάλοις εἶναι.[e] οὕτω δή, φαμέν, καὶ τὸ καλόν, ᾧ καλὰ πάντα ἐστίν, ἄν τ' οὖν φαίνηται ἄν τε μή, τί ἂν εἴη; τὸ μὲν γὰρ πρέπον οὐκ ἂν εἴη· καλλίω γὰρ ποιεῖ φαίνεσθαι ἢ ἔστιν, ὡς ὁ σὸς λόγος, οἷα δ' ἔστιν, οὐκ

[p] τοιαῦθ' Γ.—[q] δοκεῖ om ΘEFI et pr B.—[r] μέν E.—[s] ἄρ' Γ.—[t] οὐδέτερον 𝔛.—[u] ποιεῖ ἕκαστα 𝔳.—[v] φαίνεται 𝔛.—[w] περὶ...εἴη om 𝔡.—[x] ἡμεῖς μὲν γὰρ 𝔳.—[y] ἐκεῖνο ζητοῦμεν E: ἐκεῖνο ἐζητοῦμεν *ς.—[z] τὰ om Σ.—[a] ἔσται 𝔛.—[b] ὑπάρχοντι Γ.—[c] πάντα τὰ μεγάλα 𝔳.—[d] καὶ ἐὰν Γ, κἂν 𝔳.—[e] εἶναι om 𝔛.—[f] ἐστι τὸ πρέπον. τοῦτο

οὐδέτερα τούτων] Nihili est, quod Sydenh. pro *οὐδέτερα τούτων* conjecit, *ἀμφότερα τούτων*. Imo id callide hoc loco prætermittit Socrates, ne, hoc statim arrepto, argumentationis tenorem Sophista interrumpat. Inferius demum hoc infertur, et ab ipso Hippia §. seq. *ἀλλὰ τὸ πρέπον, ὦ Σώκρ. καὶ εἶναι καὶ φαίνεσθαι ποιεῖ καλὰ παρόν*. Sed, ni plane cœcutio, alia eaque gravis hunc locum invasit corruptela. Quid? Num, proposita triplici illa a Socrate interrogatione, defungi poterat Hippias respondendo *ἔμοιγε δοκεῖ*? Mihi Plato ita scripsisse videtur: ΙΠ. *Ἔμοιγε δοκεῖ, ὦ Σώκρ. τὸ πρότερον, ὃ ποιεῖ φαίνεσθαι καλά, ὥσπέρ γε ἐπειδὰν—καλλίων φαίνεται.* ΣΩ. *Οὐκοῦν εἴπερ* etc. Nam in vulgata scriptura id quoque offendit magnopere, quod post Socratis hanc interrogationem *Πότερα—καλλίων φαίνεται* ne verbum quidem ab Hippia subjicitur, sed continuo additur a Socrate *Οὐκοῦν εἴπερ*, cujus generis aliud ullum in Platonis sermonibus exemplum reperiri negamus. HEIND.

§. 32. **ἐζητοῦμεν**] Scripserim *ζητοῦμεν* propter modo prægressum *ζητοῦμεν*. Et sic post *τοῦτο γὰρ ζητοῦμεν, εἴπερ—ζητοῦμεν*. Conf. §. 33. HEIND.

ζητοῦμεν] Ita dedi loco vulgati *ἐζητοῦμεν*. HEIND. ed. 2.

ᾧ] Malim abesse *ᾧ*: ut legatur, *ὥσπερ πάντα τὰ μεγάλα, ἐστὶ μεγάλα τῷ ὑπερέχοντι*. STEPH.

ᾧ πάντα—τῷ ὑπερέχοντι] Stephanus *ᾧ* abesse malebat, Sydenhamus rescribi *τὸ ὑπερέχον τι*, in quo *τι* male redundaret. Neuter vidit, orationem ita supplendam: *ὥσπερ εἰ ζητοῖμεν, ᾧ πάντα τὰ μεγάλα ἐστὶ μεγάλα, φαῖμεν ἄν, τῷ ὑπερέχοντι*. In seqq. *καὶ ἂν μὴ φαίνηται* vulgo vitiose *φαίνεται*. HEIND.

ἐᾷ φαίνεσθαι. τὸ δὲ ποιοῦν εἶναι καλά, ὅ περ νῦν δὴ εἶπον, ἐάν τε φαίνηται ἐάν τε μή, πειρατέον λέγειν τί ἐστι· τοῦτο[f] γὰρ ζητοῦμεν, εἴ περ[g] τὸ καλὸν ζητοῦμεν.

ΙΠ. Ἀλλὰ τὸ πρέπον, ὦ Σώκρατες, καὶ εἶναι καὶ φαίνεσθαι ποιεῖ καλὰ παρόν.

ΣΩ. Ἀδύνατον ἄρα τῷ ὄντι καλὰ ὄντα μὴ φαίνεσθαι καλὰ εἶναι, παρόντος γε τοῦ ποιοῦντος φαίνεσθαι;

ιr. iii. 438. ΙΠ. Ἀδύνατον.

§. 33. ΣΩ. Ὁμολογήσωμεν[h] οὖν[i] τοῦτ',[j] ὦ Ἱππία, πάντα τὰ[k] τῷ ὄντι καλὰ καὶ νόμιμα καὶ[l] ἐπιτηδεύματα καὶ δοξάζεσθαι καλὰ εἶναι καὶ φαίνεσθαι ἀεὶ πᾶσιν, ἢ πᾶν τοὐναντίον ἀγνοεῖσθαι[m] καὶ πάντων μάλιστα ἔριν καὶ μάχην περὶ αὐτῶν εἶναι καὶ ἰδίᾳ ἑκάστοις[n] καὶ δημοσίᾳ ταῖς πόλεσιν;

ΙΠ. Οὕτω μᾶλλον, ὦ Σώκρατες· ἀγνοεῖσθαι.

ΣΩ. Οὐκ ἄν, εἴ γέ που τὸ φαίνεσθαι αὐτοῖς προσῆν· προσῆν δ'[o] ἄν, εἴ περ τὸ πρέπον καλὸν ἦν καὶ μὴ μόνον καλὰ ἐποίει εἶναι ἀλλὰ καὶ φαίνεσθαι. ὥστε τὸ πρέπον, εἰ μὲν τὸ καλὰ[p] ποιοῦν ἐστὶν εἶναι, τὸ [μὲν] καλὸν ἂν εἴη ὃ ἡμεῖς ζητοῦμεν,[q] οὐ[r] μέντοι τό γε ποιοῦν φαίνεσθαι· εἰ δ' αὖ τὸ φαίνεσθαι ποιοῦν ἐστὶ[s] τὸ πρέπον, οὐκ ἂν εἴη τὸ καλὸν ὃ ἡμεῖς ζητοῦμεν. εἶναι γὰρ ἐκεῖνό γε ποιεῖ, φαίνεσθαι δὲ καὶ ποιεῖν εἶναι οὐ μόνον καλὰ οὐκ ἄν ποτε δύναιτο τὸ αὐτό, ἀλλ' οὐδὲ[t] ἄλλο ὁτιοῦν. ἑλώμεθα δὴ πότερα δοκεῖ τὸ πρέπον εἶναι τὸ φαίνεσθαι καλὰ ποιοῦν ἢ τὸ εἶναι.

F.—[g] εἰ ὅπερ υ: εἴπερ ..ζητοῦμεν om ϒ.—[h] ὁμολογήσωμεν Ξ: ὁμολογήσομεν *ς.—[i] οὖν om Θ.—[j] τοῦθ' ἱππία Γ.—[k] τὰ om Γ.—[l] καὶ post νόμιμα om υ.—[m] διαλέγεσθαι υ.—[n] ἕκαστος ϒ.—[o] οὐδ' suppl Γ.—[p] τὰ καλὰ corr F.—[q] ζητοῦμεν] ποιοῦμεν ϒ.—[r] οὐ...ζητοῦμεν om Σ.—[s] ποιοῦν ἐστὶ φαίνεσθαι υ.—[t] δύναιτο αὐτὸ τὸ αὐτὸ,

§. 33. ἀγνοεῖσθαι] Non est jungendus infinit. ἀγνοεῖσθαι cum οὕτω μᾶλλον, sed cum præced. futuro (quod subaud.) ὁμολογήσομεν. q. d. ἤγουν ἀγνοεῖσθαι, vel δηλονότι ἀγνοεῖσθαι, vel ἀγνοεῖσθαι δήπου. hoc sensu, *Hoc potius quam illo modo rem se habere fatebimur: nimirum illa ignorari.* Steph.

οὕτω μᾶλλον—ἀγνοεῖσθαι] *Hoc potius modo rem se habere fatebimur, ut illa ignorentur.* Pendet enim ἀγνοεῖσθαι a prægresso ὁμολογήσομεν, neque jungendum cum antecedentibus οὕτω μᾶλλον, de quo jam monuit Steph. Heind.

φαίνεσθαι δὲ καὶ ποιεῖν εἶναι] Trajectiones verborum licet apud Atticos non sint raræ, h. l. tamen εἶναι moleste transpositum reponendumque sine dubio ante ποιεῖν sic: φαίνεσθαι δὲ καὶ εἶναι ποιεῖν etc. Structura autem verborum hæc est: τὸ αὐτὸ οὐκ ἄν ποτε δύναιτο ποιεῖν φαίνεσθαι καὶ εἶναι οὐ μόνον καλά, ἀλλ' οὐδὲ

ΙΠ. Τὸ φαίνεσθαι, ἔμοιγε δοκεῖ, ὦ Σώκρατες.

ΣΩ. Βαβαί, οἴχεται ἄρ'[u] ἡμᾶς διαπεφευγός, ὦ Ἱππία, τὸ καλὸν γνῶναι ὅ τί ποτ' ἔστιν, ἐπειδή γε τὸ πρέπον ἄλλο τι ἐφάνη ὂν ἢ καλόν.

ΙΠ. Ναὶ μὰ Δία,[v] ὦ Σώκρατες, καὶ μάλα[w] ἔμοιγε II. iii. 439.
ἀτόπως.[x]

§. 34. ΣΩ. Ἀλλὰ μέντοι, ὦ ἑταῖρε, μή πώ γε ἀνῶ- III. 295.
μεν[y] αὐτό· ἔτι γάρ τινα ἐλπίδα ἔχω ἐκφανήσεσθαι τί ποτ' ἔστι τὸ καλόν.

ΙΠ. Πάντως δή[z] που, ὦ Σώκρατες· οὐδὲ γὰρ χαλεπόν ἐστιν εὑρεῖν. ἐγὼ μὲν οὖν εὖ[a] οἶδ' ὅτι, εἰ ὀλίγον χρόνον εἰς ἐρημίαν ἐλθὼν σκεψαίμην[b] πρὸς ἐμαυτόν, ἀκριβέστερον αὐτό[c] σοι εἴποιμι τῆς ἁπάσης ἀκριβείας.

ΣΩ. Ἃ μὴ μέγα, ὦ Ἱππία, λέγε. ὁρᾷς ὅσα πράγματα ἡμῖν ἤδη παρέσχηκε· μὴ καὶ[d] ὀργισθὲν ἡμῖν ἔτι μᾶλλον ἀποδρᾷ. καί τοι οὐδὲν λέγω· σὺ μὲν γάρ, οἶμαι, ῥᾳδίως αὐτὸ εὑρήσεις, ἐπειδὰν μόνος γένῃ. ἀλλὰ πρὸς θεῶν ἐμοῦ ἐναντίον αὐτὸ ἔξευρε, εἰ δὲ βούλει, ὥς περ νῦν ἐμοὶ συζήτει. καὶ ἐὰν μὲν[e] εὕρωμεν, κάλλιστα ἕξει· εἰ δὲ μή, στέρξω, οἶμαι, ἐγὼ τῇ ἐμῇ τύχῃ,[f] σὺ δ' ἀπελθὼν ῥᾳδίως εὑρήσεις. καὶ ἐὰν νῦν[g] εὕρωμεν, ἀμέλει, οὐκ ὀχληρὸς ἔσομαί σοι πυνθανόμενος ὅ τι ἦν ἐκεῖνο ὃ κατὰ σαυτὸν ἐξεῦρες. νῦν δὲ θέασαι αὐτό, εἴ[h] σοι δοκεῖ[i] εἶναι τὸ καλόν. λέγω δὴ

ἀσκο

ἀλλὰ καὶ οὐδὲ r.—[u] ἄρ' Γ.—[v] δί' δ.—[w] μέγα Υ.—[x] ἀτόπως δr, ἀσκόπως Υ.—[y] μήπω ἀνῶμεν Σ et pr Ξ, μήποτε ἀγνῶμεν r.—[z] πάντως δή ΓΘΥΒCEFrδlr : πάντως γε δή *s.—[a] εὖ om Θrls.—[b] ἐσκεψάμην Υ.—[c] αὐτός ΥF : deficientem ante αὐτὸ particulam ἂν præbet jam r.—[d] καὶ μὴ s.—[e] μὲν om r.—[f] ψυχῇ r.—[g] ἐὰν μὲν νῦν Γr.

ἄλλο ὁτιοῦν. Heind.

φαίνεσθαι δὲ καὶ ποιεῖν εἶναι] In hunc ordinem reposui: *φαίνεσθαι δὲ καὶ εἶναι ποιεῖν*. Heind. ed. 2.

§. 34. *ἀκριβέστερον τῆς ἁπ. ἀκριβ.*] Proverbiale loquendi genus, simile illi apud Suid. *δίκης δικαιότερος*. Heind.

μὴ μέγα λέγε] Perperam vertit Ficinus: *ne alta id voce dicas*. Imo *ne sis magniloquus*. Phædo p. 95. B. *ὦ 'γαθέ,—μὴ μέγα λέγε, μή τις ἡμῶν βασκανία περιτρέψῃ τὸν λόγον.* Apolog. p. 20. E. *Καί μοι—μὴ θορυβήσητε μηδὲν, ἂν δόξω τι ὑμῖν μέγα λέγειν.* Sophist. p. 238. A. Θ. *Τέλος γοῦν ἂν ἀπορίας ἔχοι ὁ λόγος.* Ξ. *Μήπω μέγ' εἴπῃς.* Conf. Kœn. Præfat. ad Gregor. p. x. Heind.

καὶ μὴ] Cornarius legi jubet *μὴ καὶ ὀργισθὲν* etc. Equidem, nisi *καὶ* hoc natum putetur ex proxima syllaba, post *καὶ* subaudiri velim illud toties intellectum *δείδω* vel *ὅρα*. Heind.

νῦν δὲ θέασαι] Malim *δὴ* pro *δέ*. De pronomine *αὐτὸ* pro *ἐκεῖνο* adhibito vid. ad Lysid. §. 2. Heind.

αὐτὸ εἶναι[j]—ἀλλὰ γὰρ ἐπισκόπει μοι πάνυ προσέχων τὸν νοῦν, μὴ παραληρήσω. τοῦτο γὰρ[k] δὴ ἔστω ἡμῖν καλόν,
II. iii. 440. ὃ ἂν χρήσιμον ᾖ. εἶπον δὲ ἐκ τῶνδε[l] ἐννοούμενος. καλοί, φαμέν,[m] οἱ ὀφθαλμοί εἰσιν οὐχ οἳ ἂν δοκῶσι τοιοῦτοι εἶναι οἷοι μὴ δυνατοὶ ὁρᾶν,[n] ἀλλ' οἳ ἂν δυνατοί τε καὶ χρήσιμοι πρὸς τὸ ἰδεῖν. ἦ γάρ;

ΙΠ. Ναί.

§. 35. ΣΩ. Οὐκοῦν καὶ τὸ ὅλον σῶμα οὕτω λέγομεν[o] καλὸν εἶναι, τὸ μὲν πρὸς δρόμον, τὸ δὲ πρὸς πάλην, καὶ αὖ τὰ ζῶα πάντα, ἵππον καλὸν καὶ ἀλεκτρυόνα καὶ ὄρτυγα, καὶ τὰ σκεύη πάντα καὶ τὰ ὀχήματα τά τε πεζὰ καὶ τὰ ἐν τῇ θαλάττῃ πλοῖά τε καὶ τριήρεις, καὶ τά γε[p] ὄργανα πάντα τά τε ὑπὸ τῇ μουσικῇ καὶ τὰ ὑπὸ ταῖς ἄλλαις τέχναις, εἰ δὲ βούλει, τὰ[q] ἐπιτηδεύματα καὶ τοὺς νόμους, σχεδόν τι πάντα ταῦτα[r] καλὰ προσαγορεύομεν τῷ αὐτῷ τρόπῳ· ἀποβλέποντες πρὸς[s] ἕκαστον αὐτῶν ᾗ πέφυκεν, ᾗ εἴργασται, ᾗ κεῖται, τὸ μὲν χρήσιμον[t] καὶ ᾗ χρήσιμον καὶ πρὸς ὃ χρήσιμον καὶ ὁπότε χρήσιμον καλόν φαμεν εἶναι,[u] τὸ δὲ ταύτῃ[v] πάντῃ ἄχρηστον αἰσχρόν. ἆρ' οὖν[w] οὐ καὶ σοὶ δοκεῖ οὕτως, ὦ Ἱππία;

ΙΠ. Ἔμοιγε.

ΣΩ. Ὀρθῶς ἄρα νῦν[x] λέγομεν ὅτι τυγχάνει παντὸς ὂν[y] μᾶλλον καλὸν[z] τὸ χρήσιμον;

ΙΠ. Ὀρθῶς μέντοι, ὦ Σώκρατες.

II. iii. 441. ΣΩ. Οὐκοῦν τὸ δυνατὸν ἕκαστον ἀπεργάζεσθαι, εἰς ὅ

—[h] ὃ v.—[i] φανῇ Γ.—[j] : λέγω...εἶναι : Ξ.—[k] τοῦτο μὲν γὰρ v.—[l] δ' ἐκ τῶνδ' v.—[m] μὲν 𝔛.—[n] ὁρᾶν...δυνατοί om Γ.—[o] λέγωμεν Θ𝔩.—[p] τε v.—[q] βούλει καὶ τὰ v𝔛.—[r] ταῦτα πάντα Υ.—[s] πρὸς om v.—[t] μὲν οὖν χρήσιμον Υ.—[u] καλόν φαμεν καλὸν εἶναι v.—[v] ταύτῃ add ΓΘΞΣΥBCv𝔡𝔩𝔛.—[w] οὖν om ΓΥv𝔡𝔛.—[x] νῦν om 𝔡.—[y] εἶναι 𝔡.

§. 35. τὸ μὲν πρὸς δρόμον] Conferendus his locus Xenoph. Memor. iv. 6. 9. ubi idem obtinet usus τοῦ καλοῦ πρός τι.—καὶ ἀλεκτρ. καὶ ὄρτυγα—vid. ad Lysid. §. 20. Heind.

τὰ ὑπὸ τῇ μουσικῇ] *Quæ in musica ceterisque artibus adhibentur.* Sympos. p. 205. B. αἱ ὑπὸ πάσαις ταῖς τέχναις ἐργασίαι ποιήσεις εἰσί. de Rep. vi. p. 511. A. Μανθάνω, ἔφη, ὅτι τὸ ὑπὸ ταῖς γεωμετρίαις τε καὶ ταῖς ταύταις ἀδελφαῖς τέχναις λέγεις. Heind.

χρήσιμον καὶ ᾗ χρήσιμον] Melius, opinor, hoc καὶ abesset. Mox Bas. 2. τὸ δὲ ταύτῃ πάντῃ ἄχρηστον. Non male, q. d. τὸ δὲ οὐδαμῇ πρὸς οὐδὲν οὐδέποτε χρήσιμον. Heind.

τὸ δὲ πάντῃ] Legitur etiam, τὸ δὲ ταύτῃ πάντῃ ἄχρηστον. Steph.

ταύτῃ πάντῃ] Vocabulum ταύτῃ e Bas. 2. revocavi. Heind. ed. 2.

περ δυνατόν, εἰς τοῦτο καὶ χρήσιμον, τὸ δὲ ἀδύνατον ἄχρη-
στον;

ΙΠ. Πάνυ γε.

ΣΩ. Δύναμις μὲν ἄρα καλόν, ἀδυναμία δὲ αἰσχρόν;

§. 36. ΙΠ. Σφόδρα γε. τά τε οὖν[a] ἄλλα, ὦ Σώκρα-
τες,[b] μαρτυρεῖ ἡμῖν ὅτι τοῦτο οὕτως ἔχει, ἀτὰρ οὖν καὶ τὰ III. 296.
πολιτικά. ἐν γὰρ τοῖς πολιτικοῖς τε καὶ τῇ αὑτοῦ[c] πόλει
τὸ μὲν δυνατὸν εἶναι πάντων[d] κάλλιστον, τὸ δὲ ἀδύνατον
πάντων[e] αἴσχιστον.

ΣΩ. Εὖ λέγεις. ἆρ' οὖν πρὸς θεῶν, ὦ[f] Ἱππία, διὰ ταῦ-
τα καὶ ἡ σοφία πάντων κάλλιστον, ἡ δὲ ἀμαθία πάντων
αἴσχιστον;

ΙΠ. Ἀλλὰ τί οἴει, ὦ Σώκρατες;

ΣΩ. Ἔχε δὴ ἠρέμα, ὦ φίλε ἑταῖρε, ὡς φοβοῦμαι[g] τί
ποτ' αὖ λέγομεν.

ΙΠ. Τί δ' αὖ φοβεῖ, ὦ Σώκρατες, ἐπεὶ νῦν γέ σοι[h] ὁ
λόγος παγκάλως προβέβηκεν;

ΣΩ. Βουλοίμην ἄν, ἀλλά μοι[i] τόδε συνεπίσκεψαι. ἆρ'
ἄν τίς τι ποιήσειεν ὃ μήτ' ἐπίσταιτο[j] μήτε τὸ παράπαν
δύναιτο;

ΙΠ. Οὐδαμῶς· πῶς γὰρ ἂν ὅ γε μὴ δύναιτο;[k]

ΣΩ. Οἱ[l] οὖν ἐξαμαρτάνοντες καὶ κακὰ[m] ἐργαζόμενοί
τε καὶ ποιοῦντες ἄκοντες, ἄλλο τι οὗτοι,[n] εἰ[o] μὴ ἐδύναντο II. iii. 442.
ταῦτα ποιεῖν, οὐκ ἄν ποτε ἐποίουν;

ΙΠ. Δῆλον δή.

—[z] καλὸν μᾶλλον Θ𝔩.—[a] γοῦν 𝔳.—[b] σώ ἱππία 𝔩.—[c] ἑαυτοῦ Υ𝔯𝔡𝔵.—[d] πάντων om F.—[e] ἁπάντων 𝔳.—[f] ὦ om ΓΘBCEF𝔯𝔡𝔩𝔵.—[g] φοβεῖ 𝔯𝔡, φοβούμεθα suppl Γ.—[h] γε σοι νῦν Γ.—[i] μοι om 𝔳.—[j] ἐπίσταται Υ𝔳.—[k] δύνατο 𝔳.—[l] εἰ 𝔩.—[m] κακῶς suppl Γ.

§. 36. ἀλλὰ τί οἴει] Vid. ad §. 17. Heind.

λέγομεν] Scribendum videtur λέγωμεν. Sic autem p. 298. Ἔχ' ἡσυχῇ, ὦ Ἱππία, κινδυνεύομεν γάρ τοι, etc. Steph.

φοβοῖμαι τί ποτ' αὖ λέγομεν] In his Stephanum, corrigentem λέγωμεν, non audio. Fraudi fuit viro doctissimo Latini sermonis ratio, cui dispar in hoc genere est usus Græcorum. de Legg. ii. p. 652. B. Ἀναμνησθῆναι—ἐπιθυμῶ, τί ποτε λέγομεν ἡμῖν εἶναι τὴν ὀρθὴν παιδείαν. Gorg. p. 455. A. φέρε δή, ἴδωμεν τί ποτε καὶ λέγομεν περὶ τῆς ῥητορικῆς. Euthyphr. p. 7. A. φέρε δή, ἐπισκεψώμεθα, τί λέγομεν. Quibus locis τί ποτε λέγομεν est *quid s. quale sit id (verum necne), quod dicimus*. Contra de Legg. i. p. 612. A. ὁρᾶτε οὖν τί ποιῶμεν est *videte, quid faciendum nobis sit s. quid facere velimus*. Heind.

§. 37. ΣΩ. Ἀλλὰ μέντοι δυνάμει γε δύνανται[p] οἱ δυνάμενοι· οὐ γάρ που[q] ἀδυναμίᾳ γε.

ΙΠ. Οὐ δῆτα.

ΣΩ. Δύνανται δέ γε πάντες ποιεῖν οἱ ποιοῦντες ἃ ποιοῦσιν;

ΙΠ. Ναί.

ΣΩ. Κακὰ δέ γε[r] πολὺ[s] πλείω ποιοῦσιν ἢ ἀγαθὰ πάντες ἄνθρωποι, ἀρξάμενοι ἐκ παίδων, καὶ ἐξαμαρτάνουσιν[t] ἄκοντες.

ΙΠ. Ἔστι ταῦτα.

ΣΩ. Τί οὖν; ταύτην τὴν δύναμιν καὶ ταῦτα τὰ[u] χρήσιμα, ἃ ἂν[v] ᾖ ἐπὶ τὸ[w] κακόν τι ἐργάζεσθαι χρήσιμα, ἆρα φήσομεν ταῦτα εἶναι καλά, ἢ πολλοῦ δεῖ;

ΙΠ. Πολλοῦ, ἔμοιγε δοκεῖ, ὦ Σώκρατες.

ΣΩ. Οὐκ ἄρα, ὦ[x] Ἱππία, τὸ δυνατόν τε καὶ τὸ χρήσιμον ἡμῖν, ὡς ἔοικεν, ἐστὶ τὸ καλόν.

ΙΠ. Ἐάν γε, ὦ Σώκρατες, ἀγαθὰ δύνηται καὶ ἐπὶ τοιαῦτα[y] χρήσιμον ᾖ.

ΣΩ. Ἐκεῖνο μὲν τοίνυν οἴχεται, τὸ δυνατόν τε καὶ χρήσιμον ἁπλῶς εἶναι καλόν. ἀλλ' ἆρα τοῦτ' ἦν ἐκεῖνο, ὦ Ἱπ-
II. iii. 443. πία, ὃ[z] ἐβούλετο ἡμῶν ἡ ψυχὴ εἰπεῖν, ὅτι τὸ χρήσιμόν τε καὶ τὸ δυνατὸν ἐπὶ τὸ ἀγαθόν τι ποιῆσαι, τοῦτ' ἐστὶ τὸ καλόν;

ΙΠ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Ἀλλὰ μὴν τοῦτό γε ὠφέλιμόν ἐστιν. ἢ οὔ;

ΙΠ. Πάνυ γε.

—[n] οὗτοι om Σ.—[o] ἢ εἰ Υ.—[p] δύναιντο EF.—[q] που ΓΘΞΣΥBCrlr, om ɒ: πω *ς. —[r] γε om υ.—[s] πολὺ om Υ.—[t] ἐξαμαρτάνοντες υ.—[u] τὰ om Σ.—[v] ἂν om υ.—[w] τὸ om r.—[x] ὃ Θ.—[y] ἐπὶ τὰ τοιαῦτα υ.—[z] ὃ ὃ l, omisi postea ɒ.—[a] ὅτι om υ.—

§. 37. *οὐ γάρ πω*] Melius utique *που* quam *πω*; sed Platonis loca, ubi ita *πω* pro *που* illatum reperitur, mutare omnia non ausim. vid. Theæt. p. 200. D. Sophist. p. 243. E. Cratyl. p. 438. C. Phileb. p. 64. D. de Legg. vii. p. 808. D. Heind.

ἐάν γε—ἀγαθὰ δύνηται] *Si quidem bona præstet* seu *efficiat*. Phileb. p. 23. D. *Μῶν οὖν σοι καὶ πέμπτου προσδεήσει διάκρισίν τινος δυναμένου (γένους)*; sed pervagatus est hic significatus *τοῦ δύνασθαι*, diversus paullulum ab illo, quo itidem accusativo id junctum sonat *spectare aliquo, velle*, de quo vid. Heusing. ad Plutarch. de Puer. Ed. iv. 18. Heind.

ὅτι τὸ χρήσιμόν τε καὶ τὸ δυνατὸν ἐπὶ τὸ ἀγαθ.] Placebat olim transponi *ὅτι τὸ δυνατὸν καὶ τὸ χρήσ. ἐπὶ*—sed ut h. l. *δυνατὸν ἐπὶ τὸ ποιῆσαι* dicitur, ita dictum supra §. 35. *εἰς ὅπερ δυνατόν*. Heind.

§. 38. ΣΩ. Οὕτω δὴ καὶ τὰ καλὰ σώματα καὶ τὰ καλὰ νόμιμα καὶ ἡ σοφία καὶ ἃ νῦν δὴ ἐλέγομεν πάντα καλά ἐστιν, ὅτι[a] ὠφέλιμα.

ΙΠ. Δῆλον ὅτι.

ΣΩ. Τὸ ὠφέλιμον ἄρα ἔοικεν ἡμῖν εἶναι τὸ καλόν, ὦ Ἱππία.

ΙΠ. Πάντως δή που, ὦ Σώκρατες.

ΣΩ. Ἀλλὰ μὴν τό γε ὠφέλιμον τὸ ποιοῦν ἀγαθόν ἐστιν.

ΙΠ. Ἔστι γάρ.

ΣΩ. Τὸ ποιοῦν δέ[b] γ' ἐστὶν οὐκ ἄλλο τι ἢ τὸ αἴτιον. ἦ γάρ;

ΙΠ. Οὕτως.

ΣΩ. Τοῦ ἀγαθοῦ ἄρ'[c] αἴτιόν ἐστι[d] τὸ καλόν.

ΙΠ. Ἔστι γάρ. III. 297.

ΣΩ. Ἀλλὰ μὴν τό γε[e] αἴτιον, ὦ Ἱππία, καὶ οὗ ἂν αἴτιον ᾖ τὸ αἴτιον, ἄλλο ἐστίν· οὐ γάρ που τό γε αἴτιον αἰτίου αἴτιον ἂν εἴη. ὧδε δὲ σκόπει· οὐ τὸ αἴτιον ποιοῦν ἐφάνη;

ΙΠ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν ὑπὸ τοῦ ποιοῦντος ποιεῖται οὐκ ἄλλο τι ἢ II. iii. 441.
τὸ γιγνόμενον, ἀλλ' οὐ τὸ ποιοῦν;

ΙΠ. Ἔστι ταῦτα.

ΣΩ. Οὐκοῦν ἄλλο τι τὸ γιγνόμενον, ἄλλο δὲ τὸ ποιοῦν;[f]

ΙΠ. Ναί.

ΣΩ. Οὐκ ἄρα τό γ'[g] αἴτιον αἴτιον αἰτίου ἐστίν, ἀλλὰ τοῦ γιγνομένου ὑφ' ἑαυτοῦ.

ΙΠ. Πάνυ γε.

ΣΩ. Εἰ ἄρα τὸ καλόν ἐστιν αἴτιον ἀγαθοῦ, γίγνοιτ' ἂν ὑπὸ τοῦ καλοῦ τὸ ἀγαθόν. καὶ διὰ ταῦθ',[h] ὡς ἔοικε, σπουδάζομεν καὶ τὴν φρόνησιν καὶ τἆλλα πάντα τὰ καλά, ὅτι τὸ ἔργον αὐτῶν καὶ τὸ ἔκγονον[i] σπουδαστόν ἐστι, τὸ ἀγαθόν, καὶ κινδυνεύει ἐξ ὧν εὑρίσκομεν πατρός τινος ἰδέα[j] εἶναι τὸ καλὸν τοῦ ἀγαθοῦ.

[b] δέ om Θl.—[c] ἆρ' Γ, ἆρ' ἑκάστου r.—[d] ἐστὶν αἴτιον r.—[e] γ' r.—[f] ποιούμενον r. —[g] γ' om r.—[h] ταῦθ' Γ.—[i] ἔγγονον r.—[j] εὑρίσκομεν ἐν πατρός τινος εἰ ἰδέα r.—

§. 39. ΙΠ. Πάνυ μὲν οὖν· καλῶς γὰρ λέγεις, ὦ Σώκρατες.

ΣΩ. Οὐκοῦν καὶ τόδε[k] καλῶς λέγω, ὅτι οὔθ' ὁ πατὴρ υἱός ἐστιν οὔθ'[l] ὁ υἱὸς πατήρ;

ΙΠ. Καλῶς μέντοι.

ΣΩ. Οὐδέ γε τὸ αἴτιον γιγνόμενόν ἐστιν, οὐδὲ τὸ γιγνόμενον αὖ αἴτιον.

ΙΠ. Ἀληθῆ λέγεις.

ΣΩ. Μὰ Δί',[m] ὦ ἄριστε, οὐδὲ ἄρα τὸ καλὸν[n] ἀγαθόν ἐστιν, οὐδὲ τὸ ἀγαθὸν καλόν. ἢ[o] δοκεῖ σοι οἷόν[p] τε εἶναι[q] ἐκ τῶν προειρημένων;[r]

II. iii. 445. ΙΠ. Οὐ μὰ τὸν[s] Δί',[t] οὔ μοι φαίνεται.

ΣΩ. Ἀρέσκει[u] οὖν ἡμῖν καὶ[v] ἐθέλοιμεν ἂν λέγειν ὡς τὸ καλὸν οὐκ ἀγαθὸν οὐδὲ τὸ ἀγαθὸν καλόν;

ΙΠ. Οὐ μὰ τὸν Δί', οὐ πάνυ μοι ἀρέσκει.

ΣΩ. Ναὶ[w] μὰ τὸν Δί', ὦ Ἱππία· ἐμοὶ δέ γε πάντων ἥκιστ'[x] ἀρέσκει ὧν[y] εἰρήκαμεν λόγων.

ΙΠ. Ἔοικε γὰρ οὕτως.

ΣΩ. Κινδυνεύει[z] ἄρ'[a] ἡμῖν, οὐχ ὥς περ ἄρτι ἐφαίνετο κάλλιστος εἶναι τῶν λόγων τὸ ὠφέλιμον καὶ τὸ χρήσιμόν τε καὶ τὸ[b] δυνατὸν ἀγαθόν τι ποιεῖν καλὸν εἶναι, οὐχ οὕτως ἔχειν, ἀλλ', εἰ οἷόν τ' ἐστίν, ἐκείνων εἶναι γελοιότερος[c] τῶν πρώτων, ἐν οἷς τήν τε παρθένον ᾠόμεθ' εἶναι τὸ καλὸν καὶ ἓν ἕκαστον τῶν ἔμπροσθεν[d] λεχθέντων.

[k] τόγε Ɩ.—[l] οὔθ' Γ.—[m] δι' Γϑ.—[n] ἦ καλόν ΘBCEFƖ et pr Γ, ἢ καλόν ϑ, ἦ καλόν ɤ.—[o] ἢ om ΞΣϒv.—[p] οἷόν om v.—[q] εἶναι om Γ.—[r] προειρημένων ΓΘΞΣϒBCrϑƖɤ : εἰρημένων *s.—[s] τὸν om r.—[t] δί' ϑ.—[u] ἀρέσκει ΓϒBCEFrϑƖɤ et corr Ξ : ἀρέσκοι *s.—[v] οὖν καὶ ἡμῖν καὶ v.—[w] ναὶ...ἀρέσκει om Θ, μὰ...ἀρέσκει om Ɩ, μὰ τὸν δί' om ϑ.—[x] ἥκιστ' Γ.—[y] ἐξ ὧν rc F.—[z] κινδυνεύειν v.—[a] ἄρ' Γ.—[b] τὸ om ɤ.—[c] γελοιότερον

§. 39. *ναὶ μὰ τὸν Δία*] Hærebat aliquis in formula hæc affirmandi, sine causa. Nam his verbis prægressum Hippiæ responsum Socrates asseverat. *Vere ais, tibi non admodum placere.* Heind.

ἐφαίνετο κάλλιστος] Vulgo distinctum *κινδυνεύει ἄρα ἡμῖν, οὐχ, ὥσπερ ἄρτι ἐφαίνετο, κάλλιστος εἶναι τῶν λόγων, τὸ ὠφέλιμον—ποιεῖν, καλὸν εἶναι, οὐχ οὕτως ἔχειν*, ut *κάλλιστος εἶναι* penderet a prægresso *κινδυνεύει*, et illa *οὐχ οὕτως ἔχειν* addita essent abundanter. Sed Græcus lector haud dubie *ἐφαίνετο* jungebat subsequentibus his *κάλλιστος εἶναι*. Heind.

ὠφέλ. καὶ τὸ χρ.] Scribendum puto, *τὸ ὠφέλιμόν τε καὶ χρήσιμον, καὶ τὸ δυνατὸν*, etc. Steph.

ὠφέλ. καὶ τὸ χρ.] Stephanus scribendum putabat *τὸ ὠφέλιμόν τε καὶ χρήσιμον καὶ τὸ δυνατὸν*, quasi *τὸ ὠφέλιμον* et *τὸ χρήσιμον* ejusdem prorsus generis essent. Imo *χρήσιμον* aliquid esse poterat etiam *ἐπὶ τὸ κακόν τι ἐργάζεσθαι*; contra

§. 40. ΙΠ. Ἔοικεν.

ΣΩ. Καὶ[e] ἐγὼ μέν γε οὐκ ἔτι ἔχω, ὦ Ἱππία, ὅποι[f] τράπωμαι, ἀλλ' ἀπορῶ· σὺ δὲ ἔχεις τι λέγειν;

ΙΠ. Οὐκ ἔν γε τῷ παρόντι, ἀλλ' ὥς περ ἄρτι ἔλεγον, σκεψάμενος εὖ οἶδ' ὅτι εὑρήσω.

ΣΩ. Ἀλλ' ἐγώ μοι δοκῶ ὑπὸ ἐπιθυμίας[g] τοῦ εἰδέναι
οὐχ οἷός τε σὲ εἶναι περιμένειν μέλλοντα. καὶ γὰρ οὖν δή
τι καὶ οἶμαι ἄρτι εὐπορηκέναι.[h] ὅρα γάρ, εἰ[i] ὃ ἂν χαίρειν II. iii. 446.
ἡμᾶς ποιῇ, μή τι πάσας τὰς ἡδονάς, ἀλλ' ὃ ἂν διὰ τῆς
ἀκοῆς καὶ τῆς ὄψεως, τοῦτο φαῖμεν[j] εἶναι καλόν, πῶς τί
ἄρ' ἂν ἀγωνιζοίμεθα;[k] οἵ τέ[l] γέ που καλοὶ ἄνθρωποι, ὦ III. 298.
Ἱππία, καὶ τὰ ποικίλματα πάντα καὶ τὰ ζωγραφήματα
καὶ τὰ πλάσματα τέρπει ἡμᾶς ὁρῶντας, ἃ ἂν καλὰ ᾖ·
καὶ οἱ φθόγγοι οἱ καλοὶ καὶ ἡ μουσικὴ ξύμπασα καὶ οἱ
λόγοι καὶ αἱ μυθολογίαι ταὐτὸν τοῦτο[m] ἐργάζονται, ὥστ'
εἰ ἀποκριναίμεθα τῷ θρασεῖ ἐκείνῳ ἀνθρώπῳ ὅτι Ὦ γενναῖε,
τὸ καλόν ἐστι τὸ[n] δι' ἀκοῆς τε καὶ ὄψεως[o] ἡδύ, οὐκ ἂν
οἴει[p] αὐτὸν[q] τοῦ θράσους ἐπίσχοιμεν;[r]

ΙΠ. Ἐμοὶ γοῦν[s] δοκεῖ νῦν,[t] ὦ Σώκρατες, εὖ λέγεσθαι τὸ καλὸν ὃ ἔστιν.[u]

§. 41. ΣΩ. Τί δ' ἄρα; τὰ ἐπιτηδεύματα τὰ καλὰ

ΓΞΣΥBCErδlr.—[d] πρόσθεν r.—[e] καὶ om r.—[f] ὅπη r.—[g] εὐθυμίας C.—[h] εὐπορικέναι F.—[i] γὰρ οὖν εἰ r.—[j] φαίημεν r.—[k] ἀγωνιζώμεθα ΣΥ.—[l] τί ΣΥ.—[m] τοῦτον ΣΥ.—[n] ἐστι τὸ om l.—[o] καὶ ὄψεως ΘΞΣΥlr : καὶ δι' ὄψεως *ς.—[p] εἴη ΓΣ, οἴει εἰ r.—[q] αὐτῷ r.—[r] ἐπισχεῖν corr Γ.—[s] ἐμοὶ γοῦν r, ἔμοιγε δ : ἔμοιγε οὖν *ς.—[t] νῦν γε

ὠφέλιμον erat τὸ χρήσιμον καὶ τὸ δυνατὸν ἐπὶ τὸ ἀγαθόν τι ποιῆσαι. §. 37. Heind.

§. 40. μήτι] Malim *μήτοι, neque tamen*. Nam *μήτι* est *nedum*. Deinde scripserim φῶμεν pro φαῖμεν, quoniam ἀεὶ τὰ ἀπορίαν ἐμφαίνοντα ὑποτακτικοῖς συντάσσονται, ut monet Schol. Eurip. Hec. v. 85. laudante Valckenario ad Herodot. v. 82. Heind.

πῶς τί ἄρ' ἂν] Mutari jubebat Sydenhamus in πῶς γὰρ ἂν, vel πρὸς τί γὰρ ἂν, duplici nimirum interrogandi particula, πῶς τί, male offensus. Ion. p. 530. A. πῶς τί ἠγωνίσω; Theæt. p. 208. E. πῶς τί τοῦτο; Conf. Sophist. p. 261. E. Politic. p. 297. C. Tim. p. 22. B. idque retineri fortasse debet in Xenoph. Mem. iii. 13. 6. Pro ἄρα autem quanquam et Ficinus γὰρ expressit: *nam quo pacto* etc. tamen illud non tentem. Heind.

πῶς τί γὰρ ἂν] E Ficino ita correxi. Vulgo πῶς τί ἄρ' ἂν ἀγ. Heind. ed. 2.

τὰ ποικίλματα] Xenophonti Mem. iii. 8. 10. ποικιλίαι dicta, interpretatur ibi Schneiderus *de opere intestino, lacunaribus similibusque artificiis*. Heind.

§. 41. τί δ'; ἄρα τὰ ἐπιτ.] Vulgo interpungitur τί δ' ἄρα; τὰ ἐπιτ. Illa autem Ταῦτα δ' ἴσως, ὦ Σώκρ., κἂν παραλάθοι τὸν ἄνθρωπον miro errore Cornarius cum Ficino: *hæc fortassis, etiamsi hominem lateant*. κἂν h. l. est καὶ ἂν, non καὶ ἐὰν, et sensus est hic: *hæc fortasse hominem istum lateant, ut verendum nobis non sit, ne hac ejus ὑποφορᾷ illam quoque*

καὶ τοὺς νόμους, ὦ Ἱππία, δι' ἀκοῆς ἢ δι' ὄψεως φήσομεν ἡδέα ὄντα καλὰ εἶναι,[v] ἢ ἄλλο τι εἶδος ἔχειν;

ΙΠ. Ταῦτα δ'[w] ἴσως, ὦ Σώκρατες, κἂν παραλάθοι τὸν ἄνθρωπον.

ΣΩ. Μὰ τὸν κύνα, ὦ Ἱππία, οὐχ ὅν γ' ἂν[x] ἐγὼ μάλιστ'[y] αἰσχυνοίμην ληρῶν καὶ[z] προσποιούμενός τι λέγειν μηδὲν λέγων.

ΙΠ. Τίνα τοῦτον;

II. iii. 447. ΣΩ. Σωκράτη[a] τὸν Σωφρονίσκου, ὃς ἐμοὶ[b] οὐδὲν ἂν μᾶλλον ταῦτα ἐπιτρέποι[c] ἀνερεύνητα[d] ὄντα ῥᾳδίως λέγειν ἢ ὡς εἰδότα[e] ἃ μὴ οἶδα.

ΙΠ. Ἀλλὰ μὴν ἔμοιγε καὶ αὐτῷ, ἐπειδὴ σὺ εἶπες, δοκεῖ τι ἄλλο εἶναι τοῦτο τὸ[f] περὶ τοὺς νόμους.

ΣΩ. Ἔχ' ἡσυχῇ, ὦ Ἱππία· κινδυνεύομεν γάρ τοι,[g] ἐν τῇ αὐτῇ ἐμπεπτωκότες[h] ἀπορίᾳ περὶ τοῦ καλοῦ ἐν ᾗ περ νῦν δή,[i] οἴεσθαι ἐν ἄλλῃ τινὶ εὐπορίᾳ[j] εἶναι.

ΙΠ. Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες;

ΣΩ. Ἐγώ σοι φράσω ὅ γέ μοι καταφαίνεται, εἰ ἄρα τι λέγω. ταῦτα μὲν γὰρ τὰ περὶ τοὺς νόμους τε καὶ τὰ ἐπιτηδεύματα τάχ' ἂν φανείη οὐκ ἐκτὸς ὄντα τῆς αἰσθήσεως ἣ[k] διὰ τῆς ἀκοῆς τε καὶ ὄψεως ἡμῖν οὖσα τυγχάνει,[l] ἀλλ' ὑπομείνωμεν τοῦτον τὸν λόγον, τὸ διὰ τούτων ἡδὺ καλὸν εἶναι, μηδὲν τὸ τῶν νόμων εἰς μέσον παράγοντες.

ὦ υ.—[u] ὅτι ἐστίν υ.—[v] φήσομεν ἢ δηλονότι καλὰ εἶναι ἡδέα υ.—[w] δὴ ϒ.—[x] γὰρ Σ ϒυ, γ' ἂν corr Ξ. ἂν Γ.—[y] μάλιστ' Γυ.—[z] καὶ ἢ υ.—[a] σωκράτην ΞΣΥ, om υ.—[b] ἐμοὶ om υ.—[c] ἐπιτρέποιεν ϒ.—[d] ἀνευρήματα ϒ.—[e] εἰδότι ΞΣΥ.—[f] τὸ om ΣΥ et pr Ξ.—[g] τι Eϒ.—[h] ἐκπεπτ. F.—[i] δὴ νῦν ΓΘBCEFυ𝔟𝔩.—[j] ἀπυρία F.—[k] ἢ F.—[l] τυγ-

pulchri definitionem mittere cogamur. Quæ sententia mire decet Hippiam, vanissimum hominem, verique parum curiosum. Mox de dictione ῥᾳδίως λέγειν vid. ad Charmid. §. 44. Heind.

κινδυνεύομεν γάρ τοι—εὐπορίᾳ εἶναι] Cornar. *videmur enim in eandem ambiguitatem de pulchro illapsi, in qua modo eramus, et tamen putare, abunde nobis, quod dicamus, adesse.* In quibus ἄλλῃ illud non expressit. Mibi olim εὐπορίᾳ inculcatum a glossatore videbatur; nunc integra omnia esse præstem, modo hæc ἐν ἄλλῃ τινὶ εὐπορίᾳ referantur ad illa superiora §. 40. καὶ γὰρ οὖν δή τι καὶ οἶμαι ἄρτι εὐπορηκέναι. Ἐν ἄλλῃ τινὶ est *rursus in alia.* Quamcunque enim ante pulchri finitionem tentaverat cum Hippia Socrates, eam initio avide amplexus erat Sophista, in εὐπορίαν se devenisse somnians. Heind.

ὑπομείνωμεν τοῦτον τὸν λόγον] Phædo p. 95. B. πάνυ μοι οὖν ἀτόπως ἔδοξεν εὐθὺς τὴν πρώτην ἔφοδον οὐ δέξασθαι τοῦ σοῦ λόγου. Phileb. p. 41. B. προσιστώμεθα δή, καθάπερ ἀθληταί, πρὸς τοῦτον αὖ τὸν λόγον. Contrarium est ibid. p. 43. A. ἀλλὰ γὰρ ὑπεκστῆναι τὸν λόγον ἐπιφερόμενον τοῦτον βούλομαι. Heind.

[§. 42.] Ἀλλ' εἰ ἡμᾶς ἔροιτο εἴθ'[m] οὗτος ὃν[n] λέγω εἴτε
ἄλλος ὁστισοῦν, Τί δή, ὦ[o] Ἱππία τε[p] καὶ Σώκρατες, ἀφω-
ρίσατε τοῦ ἡδέος τὸ[q] ταύτῃ[r] ἡδύ, ᾗ[s] λέγετε,[t] καλὸν εἶναι,
τὸ δὲ κατὰ τὰς ἄλλας αἰσθήσεις σίτων τε καὶ ποτῶν καὶ
τῶν[u] περὶ τἀφροδίσια καὶ τἆλλα πάντα τὰ[v] τοιαῦτα οὔ
φατε καλὰ εἶναι; ἢ οὐδὲ ἡδέα, οὐδὲ ἡδονὰς τὸ παράπαν
ἐν τοῖς τοιούτοις φατὲ εἶναι, οὐδ' ἐν ἄλλῳ ἢ τῷ[w] ἰδεῖν τε II. iii. 448.
καὶ ἀκοῦσαι; τί φήσομεν, ὦ Ἱππία;

ΙΠ. Πάντως δή που φήσομεν, ὦ Σώκρατες, καὶ ἐν τοῖς
ἄλλοις μεγάλας πάνυ ἡδονὰς εἶναι.

ΣΩ. Τί οὖν, φήσει, ἡδονὰς οὔσας[x] οὐδὲν ἧττον ἢ καὶ[y]
ἐκείνας ἀφαιρεῖσθε[z] τοῦτο τοὔνομα καὶ ἀποστερεῖτε τοῦ
καλὰς[a] εἶναι; Ὅτι, φήσομεν, καταγελῴη[b] ἂν ἡμῶν οὐδεὶς III. 299.
ὅς τις οὔ, εἰ[c] φαῖμεν μὴ ἡδὺ εἶναι φαγεῖν ἀλλὰ καλόν,
καὶ ὄζειν ἡδὺ[d] μὴ[e] ἡδὺ ἀλλὰ καλόν. [§. 43.] Τὰ δέ
που περὶ τὰ ἀφροδίσια πάντες ἂν ἡμῖν μάχοιντο ὡς
ἥδιστον ὄν, δεῖ δὲ αὐτό, ἐάν τις καὶ πράττῃ, οὕτω

καλῶς ἐπιτηδεύοι, πολλὰ δ' οὔ, ἀλλ' εἰ τοῦτο ἐπιχειροῖ,[u]
πολλῶν ἐφαπτόμενος πάντων ἀποτυγχάνοι ἄν, ὥστ' εἶναί
που ἐλλόγιμος; Τί δ' οὐ μέλλει; Οὐκοῦν καὶ[v] περὶ μι-
μήσεως ὁ αὐτὸς λόγος, ὅτι πολλὰ ὁ αὐτὸς μιμεῖσθαι εὖ
ὥς περ ἓν οὐ δυνατός; Οὐ γὰρ οὖν. Σχολῇ[w] ἄρα ἐπιτη-
δεύσει[x] τέ τι ἅμα τῶν ἀξίων λόγου ἐπιτηδευμάτων καὶ II. 395.

—[e] ὃ om *t*.—[f] χρὴ ΘΦ*vr*.—[g] παραδεξώμεθα *m*.—[h] τε om ΘΦ*r*.—[i] ἐν τῇ πόλει Ξ.—[k] ἦν δ' ἐγώ] δὲ *tm*.—[l] ἐγὼ...δὴ om ΘΠΦDK*qr*.—[m] ἴσως δὲ καὶ *v*.—[n] ἀλλ' ἔγωγε *q*.
[o] οὔπω *q*, οὔ πω μὴν corr D.—[p] ὅποι Θ*q*.—[q] φέροι Φ*qr*.—[r] ταύτην Θ.—[s] γ' om K*q*.
—[t] τότε *q*.—[u] ἐπιχειρεῖ ΦK*r*, ἐπιχειροίη *t*.—[v] δὴ καὶ K.—[w] οὖν σχολή. οὐκ ἄρα *q*.
—[x] γέ τι ἄρα ἐπιτηδεύσει Φ*r* : ἄρα ἐπιτηδεύσει γέ τι *ς.—[y] δύναιντο DK, δύναιντ'

scere noluisse puto : qui vertit, *si modo intelligis*. Non ignoro alioqui quem usum hi pronominum dativi interdum habeant. Steph.

εἴ μου] Sic scripsimus, et sensu et lingua postulantibus, pro εἴ μοι μανθάνεις, in quo Stephanum dativus merito offenderat. Ita etiam Heind. ad Charm. p. 89. correxit. Solet vero genitivus cum verbis intelligendi, sciendi al. conjungi, ut l. ii. 15. 375. D. οἶσθα γάρ που τῶν γενναίων κυνῶν, ὅτι— iv. 9. p. 432. E. ὡς δοκοῦμέν μοι—οὐ μανθάνειν ἡμῶν αὐτῶν, ὅτι ἐλέγομεν τρόπον τινὰ αὐτό. Alcibiad. i. p. 119. B. καίτοι ἐννοῶ σοῦ εἰπόντος. p. 132. C. εὖ λέγοντος—τοῦ Δελφικοῦ γράμματος οὐ ξυνίεμεν; Xenoph. Cyrop. i. 6. 19. Ficinus, qui vertit, *si modo intelligis*, quomodo legerit, non liquet. Ast.

ὅτι ἔφαμεν—εἶναι] Laudat Priscian. xviii. p. 1188. qui ἐπισκεπτέον habet. Ast.

ὅπῃ—ἰτέον] Ald. Bas. 1. et 2. φέρει, vitiose. Ceterum frequentissima est imago, qua oratio cum navigio comparatur, quod ventus impellit ac ducit; v. de Legg. x. 893. B. Cicer. Cœl. 21. Balb. 1. Vid. P. Victor. Var. Lect. xvii. 22. Wyttenbach. ad Phæd. §. 36. Ast.

εἷς ἕκαστος] Laudat Priscianus xviii. p. 1178. qui ἐπιτηδεύει exhibet. Ast.

πάντως ἀποτυγχάνοι ἂν] Ni fallimur, recte sic scripsimus pro eo, quod vulgo legitur πάντων ἀποτυγχάνοι ἄν. Ὥστε εἶναι est i. q. τοῦ εἶναι. Ficinus vertit : *in singulis ita deficit, ut in nullo evadat egregius*. Ast.

πολλὰ μιμήσεται καὶ ἔσται μιμητικός, ἐπεί που οὐδὲ τὰ δοκοῦντα ἐγγὺς ἀλλήλων εἶναι δύο μιμήματα δύνανται[y] οἱ αὐτοὶ ἅμα εὖ μιμεῖσθαι, οἷον κωμῳδίαν καὶ τραγῳδίαν ποιοῦντες. ἢ οὐ μιμήματε[z] ἄρτι τούτω[a] ἐκάλεις; Ἔγωγε, καὶ ἀληθῆ γε λέγεις ὅτι οὐ δύνανται οἱ αὐτοί. Οὐδὲ μὴν ῥαψῳδοί γε[b] καὶ ὑποκριταὶ ἅμα. Ἀληθῆ. Ἀλλ' οὐδέ τοι[c] ὑποκριταὶ κωμῳδοῖς τε καὶ τραγῳδοῖς οἱ αὐτοί· πάντα δὲ ταῦτα μιμήματα. ἢ οὔ; Μιμήματα. Καὶ ἔτι γε τούτων, ὦ Ἀδείμαντε, φαίνεταί μοι εἰς σμικρότερα[d] κατα-
III. i. 124. κεκερματίσθαι[e] ἡ τοῦ ἀνθρώπου φύσις, ὥστ' ἀδύνατος εἶναι πολλὰ καλῶς μιμεῖσθαι ἢ αὐτὰ ἐκεῖνα πράττειν ὧν[f] δὴ καὶ τὰ[g] μιμήματά ἐστιν ἀφομοιώματα. Ἀληθέστατα, ἦ δ' ὅς. [§. 8.] Εἰ ἄρα τὸν πρῶτον λόγον διασώσομεν,[h] τοὺς φύλακας ἡμῖν τῶν ἄλλων πασῶν δημιουργιῶν ἀφειμένους[i] δεῖν[j] εἶναι[k] δημιουργοὺς ἐλευθερίας τῆς πόλεως πάνυ ἀκριβεῖς καὶ μηδὲν ἄλλο ἐπιτηδεύειν ὅ τι μὴ εἰς τοῦτο φέρει, οὐδὲν δὴ[l] δέοι ἂν αὐτοὺς ἄλλο πράττειν οὐδὲ μιμεῖσθαι· ἐὰν δὲ μιμῶνται, μιμεῖσθαι τὰ τούτοις προσήκοντα εὐθὺς ἐκ παίδων, ἀνδρείους, σώφρονας, ὁσίους, ἐλευθέρους[m] καὶ τὰ τοιαῦτα πάντα, τὰ δ' ἀνελεύθερα μήτε ποιεῖν μήτε δεινοὺς εἶναι μιμήσασθαι, μηδ' ἄλλο μηδὲν τῶν αἰσχρῶν, ἵνα μὴ ἐκ τῆς μιμήσεως τοῦ εἶναι ἀπολαύσωσιν. ἢ οὐκ ᾔσθησαι ὅτι αἱ μιμήσεις, ἐὰν ἐκ νέων πόῤῥω διατελέσωσιν, εἰς ἔθη τε καὶ φύσιν καθίστανται καὶ κατὰ[n] σῶμα[o] καὶ

ἂν q.—[z] μιμήματε qv, μιμήματα Ξtms: ceteri μιμήματά τε.—[a] τούτω ἄρτι v, ἀντὶ τούτων ΘΦr, τούτω DKq. γε add A.—[b] γε om Φ.—[c] οὐδ' ἔτι q.—[d] σμικρότερα ΑΘΦmr: μικρότερα *s.—[e] κατακεκερματεῖσθαι v.—[f] ἃ ΘΠΦKr.—[g] κατὰ ΘΠK.—[h] διαδώσομεν t.—[i] ἀφεμένους ΦD.—[j] δεῖ v.—[k] εἶναι εἶναι t.—[l] δὴ om tm.—[m] σώφρονας ὁσίους ἐλευθέρους in mg ponit v.—[n] κατὰ om ΘΠΦDKr.—[o] σῶμά τε q.—[p] καὶ κατὰ

§. 8. εἰ ἄρα] Laudat h. l. Stob. xli. p. 273. ubi legitur οὐδὲν δὲ δὴ δέοι. Ast.

τὸ εἶναι] Sic emendavimus vitiosum illud, quod vulgo legitur, τοῦ εἶναι ἀπολαύσ. namque τὸ εἶναι non est id, unde quid percipi dicitur, sed id ipsum, quod percipitur, igitur accusativus esse debet. Sic Polit. iv. 1. μηδὲν ἀπολαύουσιν ἀγαθὸν τῆς πόλεως. Xenoph. Memor. i. 6. 2. σὺ δέ μοι δοκεῖς τἀναντία τῆς σοφίας ἀπολελαυκέναι. Hier. vii. 9. Sympos. iii. 3. Vid. Viger. de Idiotism. p. 225. et Jacobs. in Athen. p. 123. Ἀπολαύειν hic cum ἐκ et genitivo loco simplicis genitivi positum est, ut c. ἀπὸ in Apolog. 31. B. καὶ εἰ μέν τοί τι ἀπὸ τούτων ἀπέλαυον. Vid. Jens. et Hemsterh. ad Lucian. t. i. p. 326. Fischer. ad Weller. t. iii. p. ii. p. 367. Ficinus vertit: *ne ex ipsa imitatione tales efficiantur, quale id, quod æmulantur.* Ceterum eadem sententia constat usos esse in recentioribus eos, qui contra rem dramaticam disputaverunt, in iis præcipue Roussavium. Mox ἦ pro ἢ scripsimus. Ast.

φωνὰς καὶ κατὰ[p] τὴν[q] διάνοιαν; Καὶ μάλα, ἦ δ' ὅς. Οὐ δὴ ἐπιτρέψομεν, ἦν δ' ἐγώ, ὧν φαμὲν κήδεσθαι καὶ δεῖν αὐτοὺς ἄνδρας ἀγαθοὺς γενέσθαι,[r] γυναῖκα μιμεῖσθαι ἄνδρας ὄντας, ἢ νέαν ἢ πρεσβυτέραν, ἢ ἀνδρὶ λοιδορουμένην ἢ πρὸς θεοὺς ἐρίζουσάν τε καὶ μεγαλαυχουμένην, οἰομένην εὐδαίμονα εἶναι ἢ ἐν ξυμφοραῖς τε καὶ πένθεσι καὶ θρήνοις III. i. 125.
ἐχομένην· κάμνουσαν δὲ ἢ ἐρῶσαν ἢ ὠδίνουσαν,[s] πολλοῦ καὶ[t] δεήσομεν. Παντάπασι μὲν οὖν,[u] ἦ δ' ὅς. Οὐδέ γε δούλας τε καὶ δούλους πράττοντας ὅσα δούλων. Οὐδὲ τοῦτο. Οὐδέ γε ἄνδρας κακούς, ὡς ἔοικε, δειλούς τε καὶ τἀναντία[v] πράττοντας ὧν νῦν[w] δὴ εἴπομεν, κακηγοροῦντάς τε καὶ κωμῳδοῦντας ἀλλήλους καὶ αἰσχρολογοῦντας, μεθύοντας ἢ καὶ νήφοντας, ἢ καὶ ἄλλα ὅσα οἱ τοιοῦτοι καὶ II. 396.
ἐν λόγοις καὶ ἐν[x] ἔργοις ἁμαρτάνουσιν εἴς αὑτούς τε καὶ εἰς[y] ἄλλους.[z] οἶμαι δ' οὐδὲ μαινομένοις ἐθιστέον ἀφομοιοῦν αὑτοὺς ἐν λόγοις οὐδ' ἐν ἔργοις· γνωστέον μὲν γὰρ καὶ μαινομένους καὶ πονηροὺς ἄνδρας τε καὶ γυναῖκας, ποιητέον δ' οὐδὲν τούτων οὐδὲ μιμητέον. Ἀληθέστατα, ἔφη. Τί δ',[a] ἦν δ' ἐγώ, χαλκεύοντας ἤ τι ἄλλο δημιουργοῦντας, ἢ ἐλαύνοντας τριήρεις[b] ἢ κελεύοντας τούτοις ἤ τι ἄλλο τῶν περὶ ταῦτα μιμητέον; Καὶ πῶς, ἔφη, οἷς γε οὐδὲ προσέχειν τὸν νοῦν τούτων οὐδενὶ ἐξέσται; Τί δέ;[c] ἵππους χρεμετίζοντας καὶ ταύρους μυκωμένους καὶ ποταμοὺς ψοφοῦντας καὶ θάλατταν[d] κτυποῦσαν καὶ βροντὰς καὶ πάντα

φωνὰς r.—[q] τὴν om Kq.—[r] γενέσθαι ἄνδρας ἀγαθοὺς Ξtm.—[s] ἢ καὶ ὠδίνουσαν r.—[t] γε καὶ Ξqtm.—[u] οὖν add AΞtrm.—[v] τἀναντία ΘΦr.—[w] νῦν om r.—[x] alterum ἐν om Θ.—[y] τοὺς t, om Ξm.—[z] ἄλλους ΑΠDKqtm: ἀλλήλους *s.—[a] δαὶ A.—[b] τριήρεις om Φ.—[c] δαί A.—[d] θάλασσαν tmr.—[e] αὖ om Θr.—[f] τούτῳ Av, τοῦτο tm:

ἐς ἄλλους] Sic optime cod. Reg. pro *ἀλλήλους*; *αὑτοὺς* est enim i. q. *ἀλλήλους*, cui oppositum *ἄλλους*. Sic Polit. iii. 15. p. 408. B. *οὔτε αὑτοῖς οὔτε ἄλλοις*. v. 14. p. 468. A. *πρὸς αὑτούς τε καὶ τοὺς πολεμίους*. vi. 19. p. 510. D. *οὔτε αὑτοῖς οὔτε ἄλλοις—ἀξιοῦσι περὶ αὑτῶν (λόγον) διδόναι*. Min. p. 316. D. al. Vid. nostra ad Alcibiad. i. p. 316. Coraius ad Heliodor. ii. p. 7. Ast.

ἐλαύνοντας] Sicut *ἐλαύνειν* (proprie *κώπην*, *remum agitare*, deinde et *νῆα*, ut Odyss. xv. 502. Cf. Wetsten. ad Marc. vi. 48. et Kypk. ad Joh. vi. 19.) remiges dicuntur, qui navem remis impellunt, ita *κελεύειν* dicitur is, *qui nautas et remiges moderatur* et ad opus faciendum adhortatur vel voce vel malleo. v. Pollux i. 96. ubi v. interpp. Suidas h. v. Scheffer. de Mil. Nav. iii. 1. iv. 7. Gronov. Observat. iv. 26. et Drakenb. ad Sil. Ital. vi. 360. Ast.

ταύρους μυκωμένους] Vid. Plutarch. de Aud. Poet. c. 2. p. 18. C. et Dio Chrysost. Orat. liii. p. 554. C. Ast.

αὖ[e] τὰ τοιαῦτα ἢ μιμήσονται; Ἀλλ' ἀπείρηται αὐτοῖς,
III. i. 126. ἔφη, μήτε μαίνεσθαι μήτε μαινομένοις ἀφομοιοῦσθαι. Εἰ ἄρ', ἦν δ' ἐγώ, μανθάνω ἃ σὺ λέγεις, ἔστι τι εἶδος λέξεώς τε καὶ διηγήσεως ἐν ᾧ ἂν διηγοῖτο ὁ τῷ ὄντι καλὸς κἀγαθός, ὁπότε τι δέοι αὐτὸν λέγειν, καὶ ἕτερον αὖ ἀνόμοιον τούτῳ[f] εἶδος οὗ ἂν ἔχοιτο ἀεὶ[g] καὶ ἐν ᾧ διηγοῖτο[h] ὁ[i] ἐναντίως ἐκείνῳ φύς τε καὶ τραφείς. Ποῖα δή, ἔφη, ταῦτα; Ὁ μέν μοι δοκεῖ, ἦν δ' ἐγώ, μέτριος[j] ἀνήρ, ἐπειδὰν ἀφίκηται ἐν τῇ διηγήσει ἐπὶ λέξιν τινὰ ἢ πρᾶξιν ἀνδρὸς ἀγαθοῦ, ἐθελήσειν[k] ὡς αὐτὸς ὢν[l] ἐκεῖνος ἀπαγγέλλειν καὶ οὐκ αἰσχυνεῖσθαι ἐπὶ τῇ τοιαύτῃ μιμήσει,[m] μάλιστα μὲν μιμούμενος τὸν[n] ἀγαθὸν ἀσφαλῶς τε[o] καὶ ἐμφρόνως πράττοντα, ἐλάττω δὲ καὶ ἧττον ἢ ὑπὸ νόσων ἢ[p] ὑπὸ ἐρώτων ἐσφαλμένον[q] ἢ καὶ ὑπὸ μέθης ἤ τινος ἄλλης ξυμφορᾶς·[r] ὅταν δὲ γίγνηται κατά τινα ἑαυτοῦ ἀνάξιον, οὐκ ἐθελήσειν σπουδῇ ἀπεικάζειν ἑαυτὸν[s] τῷ χείρονι, εἰ μὴ ἄρα κατὰ[t] βραχύ, ὅταν τι χρηστὸν ποιῇ, ἀλλ' αἰσχυνεῖσθαι, ἅμα μὲν ἀγύμναστος ὢν τοῦ μιμεῖσθαι τοὺς τοιούτους, ἅμα δὲ καὶ δυσχεραίνων αὐτὸν ἐκμάττειν τε[u] καὶ ἐνιστάναι εἰς τοὺς τῶν κακιόνων[v] τύπους, ἀτιμάζων[w] τῇ διανοίᾳ, ὅ τι μὴ παιδιᾶς[x] χάριν. Εἰκός, ἔφη. [§. 9.] Οὐκοῦν διηγήσει χρήσεται οἵᾳ[y]
III. i. 127. ἡμεῖς ὀλίγον[z] πρότερον διήλθομεν περὶ τὰ τοῦ[a] Ὁμήρου ἔπη, καὶ ἔσται αὐτοῦ ἡ λέξις μετέχουσα μὲν ἀμφοτέρων, μιμήσεώς τε καὶ τῆς ἄλλης διηγήσεως, σμικρὸν δέ τι μέρος μιμήσεως[b] ἐν πολλῷ[c] λόγῳ τῆς διηγήσεως;[d] ἢ οὐδὲν λέγω; Καὶ μάλα, ἔφη,[e] οἷόν γε ἀνάγκη τὸν[f] τύπον εἶναι[g]
II. 397. τοῦ τοιούτου ῥήτορος. Οὐκοῦν, ἦν δ' ἐγώ, ὁ μὴ τοιοῦτος

τούτων *ς—[g] ἀεὶ tvm.—[h] διηγεῖτο Ξ, διηγεῖται tm.—[i] ὁ om v.—[j] μετρίως t.—[k] ἐθελήσει v.—[l] ἂν Kq.—[m] ἐκμιμήσει Φr.—[n] τὸ tm et pr Ξ.—[o] τε om v.—[p] ἢ post νόσων om t.—[q] σφαλλόμενον tv.—[r] ξ. ΑΘΞΠΦtvmr.—[s] ἑαυτοῦ m.—[t] μὴ κατὰ ΠDK.—[u] τε om t.—[v] ἀκουόντων K, κακῶν v.—[w] τύπους καὶ ἀτιμάζων Dς.—[x] παιδείας K.—[y] οἵαν ς.—[z] ὀλίγῳ qt.—[a] τοῦ om tm.—[b] μιμήσεως add q.—[c] πολλῇ Θ.—[d] διηγήσεως DKq : μιμήσεως ς.—[e] μάλα γε ἔφη ΘΦr.—[f] οἷον δὲ ἀνάγκη ἐστὶ τὸν

ἐλάττω] ἔλαττον vult Salvin. in Miscell. Observ. t. v. p. ii. p. 280. Ast.

ἀτιμάζων τῇ διανοίᾳ] Sic legunt Ald. Bas. 1. et 2. et verterunt Ficin. ac Cornar. Stephanus, haud dubie propter praecedens δυσχεραίνων, scilicet ne copula desideraretur, καὶ ante ἀτιμάζων inseruit, falso; verba enim ἀτιμάζων τῇ διανοίᾳ causam indicant τοῦ δυσχεραίνειν; quocirca copula recte abest. Ast.

παιδιᾶς] Cod. Reg. παιδείας, ex vulgari harum vocum permutatione. Ast.

αὖ, ὅσῳ ἂν φαυλότερος ᾖ, πάντα τε μᾶλλον διηγήσεται[h]
καὶ οὐδὲν ἑαυτοῦ ἀνάξιον[i] οἰήσεται εἶναι, ὥστε πάντα ἐπι-
χειρήσει μιμεῖσθαι σπουδῇ τε[j] καὶ ἐναντίον πολλῶν, καὶ ἃ
νῦν δὴ ἐλέγομεν, βροντάς τε καὶ ψόφους ἀνέμων τε[k] καὶ
χαλαζῶν καὶ ἀξόνων καὶ[l] τροχιλίων[m] καὶ σαλπίγγων καὶ
αὐλῶν καὶ συρίγγων καὶ πάντων[n] ὀργάνων φωνάς, καὶ ἔτι
κυνῶν καὶ προβάτων καὶ ὀρνέων φθόγγους· καὶ ἔσται δὴ ἡ
τούτου[o] λέξις ἅπασα διὰ μιμήσεως φωναῖς τε καὶ σχήμα-
σιν, ἢ σμικρόν τι διηγήσεως ἔχουσα; Ἀνάγκη, ἔφη, καὶ
τοῦτο. Ταῦτα τοίνυν, ἦν δ' ἐγώ, ἔλεγον τὰ δύο εἴδη τῆς
λέξεως.[p] Καὶ γὰρ ἔστιν, ἔφη. Οὐκοῦν αὐτοῖν τὸ[q] μὲν
σμικρὰς τὰς μεταβολὰς ἔχει,[r] καὶ ἐάν τις ἀποδιδῷ πρέ-
πουσαν ἁρμονίαν καὶ ῥυθμὸν τῇ λέξει, ὀλίγου πρὸς τὴν αὐτὴν
ἀεὶ[s] γίγνεται λέγειν[t] τῷ ὀρθῶς λέγοντι καὶ ἐν μιᾷ ἁρμονίᾳ
—σμικραὶ γὰρ αἱ μεταβολαί—καὶ δὴ[u] ἐν ῥυθμῷ ὡσαύ- III. i. 128.
τως παραπλησίῳ[v] τινί. Κομιδῇ μὲν οὖν, ἔφη, οὕτως ἔχει.[w]
Τί δέ;[x] τὸ τοῦ ἑτέρου εἶδος οὐ τῶν ἐναντίων δεῖται, πασῶν
μὲν ἁρμονιῶν, πάντων δὲ ῥυθμῶν, εἰ μέλλει[y] αὖ[z] οἰκείως
λέγεσθαι, διὰ τὸ παντοδαπὰς μορφὰς τῶν μεταβολῶν
ἔχειν; Καὶ[a] σφόδρα γε οὕτως ἔχει. Ἆρ' οὖν πάντες οἱ
ποιηταὶ καὶ οἵ τι[b] λέγοντες ἢ τῷ ἑτέρῳ τούτων ἐπιτυγχά-
νουσι τύπῳ τῆς λέξεως ἢ τῷ ἑτέρῳ ἢ ἐξ ἀμφοτέρων τινὶ

v.—[g] εἶναι τὸν τύπον ΘΦr.—[h] μιμήσεται q.—[i] αὐτοῦ ἀνάξιον v, ἀνάξιον ἑαυτοῦ Ξς.—[j] γε A.—[k] τε post ἀνέμων om K.—[l] ἀξόνων τε καὶ v.—[m] τροχίλων ΘΠΦDKqr, τροχιλίας v.—[n] πάντων τῶν Ξ.—[o] δὴ ἡ τούτων tm, τούτων δὴ ἡ Ξς.—[p] τῆς διαλέξεως v.—[q] τὸν D.—[r] ἔχειν D.—[s] ἀεὶ add q.—[t] λέξιν v.—[u] δὴ καὶ Ξvς.—[v] ὡσαύτως ἐν παραπλησίῳ v.—[w] ἔχει om v.—[x] δαί A.—[y] μέλλει ΑΘΞΠΚlvmr : μέλλοι *ς.—[z] οὖν K.—[a] καὶ Ξlmς.—[b] τινες Φ.—[c] δεξόμεθα ΘΠΦDKqr.—[d] ἀκρατῶν v, ἀκροα-

§. 9. *ἀνέμων καὶ χαλαζῶν*] Cod. Reg. omisso τὲ, quod placet. Ast.

τροχιλίων] Cod. Reg. *τροχίλων*, vitiose. Τροχίλιον s. τροχιλία et τροχαλία s. τροχηλία, est *trochlea* s. cylindrus, v. Pollux x. 31. ubi v. Hemsterh. p. 1177. Diogen. L. ii. 36. πρὸς Ἀλκιβιάδην εἰπόντα, ὡς οὐκ ἀνεκτὴ ἡ Ξανθίππη λοιδοροῦσα, Ἀλλ' ἔγωγ', ἔφη, συνείθισμαι, καθαπερεὶ καὶ τροχηλίας (vulgo τροχηλέας) ἀκούων συνεχές. Ficinus vertit: *axis rotarum*: Cornarius: *et axium et trochlearum*. Ast.

τούτου δὴ ἡ λέξις] Sic e cod. Reg. et Ven. reposuimus, id, quod Ficinus quoque expressit vertens: *eritque hujus oratio universa*. Quippe respicitur ὁ μὴ τοιοῦτος αὖ in orationis principio. Ast.

διὰ μιμήσεως φωναῖς] Quemadmodum dicitur *μιμεῖσθαι φωναῖς*, sic et substantivum dativo jungitur, ut de Legib. i. p. 631. C. κινήσεις τῷ σώματι. iv. p. 717. B. ἡ τοῖς βέλεσιν ἔφεσις. Cratyl. p. 423. B. δήλωμά του τῷ σώματι, ubi v. Heind. Ast.

εἰ μέλλει] Sic cod. Reg. Ast.

ἐξ ἀμφοτέρων τινὶ] Constructio ex duabus conflata est pro ἤ τινι (int. ἐπιτυγχάνουσι) ἐξ ἀμφοτέρων αὐτὸν ξυγκεραννύντες. Monui, ne quis forte τινὰ

ξυγκεραννύντες; Ἀνάγκη, ἔφη. Τί οὖν ποιήσομεν; ἦν δ'
ἐγώ· πότερον εἰς τὴν πόλιν πάντας τούτους παραδεξόμεθα[c]
ἢ τῶν ἀκράτων[d] τὸν ἕτερον ἢ τὸν κεκραμένον; Ἐὰν ἡ[e] ἐμή,
ἔφη, νικᾷ, τὸν τοῦ ἐπιεικοῦς μιμητὴν τὸν[f] ἄκρατον. Ἀλλὰ
μήν, ὦ Ἀδείμαντε, ἡδύς γε καὶ ὁ κεκραμένος, πολὺ δὲ[g]
ἥδιστος παισί[h] τε καὶ παιδαγωγοῖς[i] ὁ ἐναντίος οὗ σὺ αἱ-
ρεῖ,[j] καὶ τῷ πλείστῳ ὄχλῳ. Ἥδιστος γάρ. Ἀλλ' ἴσως,
ἦν δ' ἐγώ, οὐκ ἂν αὐτὸν ἁρμόττειν φαίης τῇ ἡμετέρᾳ πο-
λιτείᾳ, ὅτι οὐκ ἔστι διπλοῦς ἀνὴρ[k] παρ' ἡμῖν οὐδὲ πολλα-
πλοῦς, ἐπειδὴ ἕκαστος ἓν πράττει. Οὐ γὰρ οὖν ἁρμόττει.
Οὐκοῦν διὰ ταῦτα ἐν μόνῃ τῇ τοιαύτῃ πόλει τόν τε σκυτο-
τόμον σκυτοτόμον[l] εὑρήσομεν καὶ οὐ κυβερνήτην πρὸς τῇ
III. i. 129. σκυτοτομίᾳ, καὶ τὸν γεωργὸν γεωργὸν[m] καὶ οὐ δικαστὴν
πρὸς τῇ γεωργίᾳ, καὶ τὸν πολεμικὸν πολεμικὸν[n] καὶ οὐ
χρηματιστὴν πρὸς τῇ πολεμικῇ, καὶ πάντας οὕτως; Ἀλη-
II. 398. θῆ, ἔφη. Ἄνδρα δή, ὡς ἔοικε, δυνάμενον ὑπὸ σοφίας παν-
τοδαπὸν γίγνεσθαι καὶ μιμεῖσθαι πάντα χρήματα, εἰ[o]
ἡμῖν ἀφίκοιτο εἰς τὴν πόλιν αὐτός τε καὶ[p] τὰ ποιήματα
βουλόμενος ἐπιδείξασθαι, προσκυνοῖμεν[q] ἂν αὐτὸν ὡς ἱερὸν
καὶ θαυμαστὸν καὶ ἡδύν, εἴποιμεν δ' ἂν ὅτι οὐκ ἔστι τοι-
οῦτος ἀνὴρ ἐν τῇ πόλει παρ' ἡμῖν οὐδὲ[r] θέμις ἐγγενέσθαι,
ἀποπέμποιμέν τε[s] ἂν[t] εἰς ἄλλην πόλιν μύρον κατὰ τῆς κε-

τῶν ΠDKr et pr Θ.—[e] ἐὰν μὲν ἡ v.—[f] alterum τὸν om DK*qt*r*m* et pr Ξ.—[g] γε ΠΦD*q*r et pr Θ, τε K.—[h] καὶ παισί ΘΠΦDK*q*r.—[i] δημαγωγοῖς Φ.—[j] ἐρεῖ *m*, ἐρᾷς *tv*.—[k] ἀνὴρ διπλοῦς K: ἀνὴρ...πολλαπλοῦς om *v*.—[l] alterum σκυτοτόμον om *tv*.—[m] γεωργὸν om *v*.—[n] πολεμικὸν om Φr.—[o] εἰ om Π et pr D.—[p] δὲ *v*.—[q] προσκυνοῦμεν *tm*.—[r] libri οὔτε.—[s] τ' *v*r.—[t] ἂν om A*m*.—[u] καταχέοντες *v*.—[v] ἐν K, om

pro τινὶ legendum esse autumet. Ast.

ἡ ἐμὴ] Int. γνώμη vel δόξα. Sic Phileb. 41. B. κατά γε τὴν ἐμήν. Politic. 277. A. Vid. Koen. ad Gregor. Corinth. p. 11. Fischer. ad Weller. t. iii. p. i. p. 254. Ast.

τὸν ἄκρατον] A cod. Reg. articulus abest, male; vid. Bast. et Schæfer. App. ad Epist. Crit. p. 3. Ast.

αὐτός τε καὶ τὰ] Vide annon scribendum sit, αὐτόν τε καὶ τὰ ποιήματα. Steph.

μῦρον κατὰ τῆς κεφαλῆς] Locus hic est unus omnium celebratissimus, sed nondum satis explanatus. Namque Plato non hoc mihi videtur voluisse dicere, poetas, tanquam sacros homines, unguentis delibutos coronisque redimitos, utpote venerationis causa, ex urbe emittendos esse, sed verba μῦρον κατὰ τῆς κεφαλῆς καταχέαντες et inprimis ἐρίῳ στέψαντες alium liquet sensum habere, atque eum ironicum. Scholiastes et Proclus nihil, quod rem explicet, proferunt, aliorum vero loca viam monstrant. Scilicet Dio Chrysost. Orat. liii. p. 554. D. hunc locum respexit scribens: καὶ κελεύει μάλα εἰρωνικῶς (sic pro εἰρηνικῶς haud dubie legendum) στέψαντάς αὐτον ἐρίῳ καὶ μύρῳ—καταχέαντας ἀφιέται παρ' ἄλλους· τοῦτο δὲ αἱ γυναῖκες ἐπὶ τῶν χελιδόνων ποιοῦσι. Sic et Ari-

φαλῆς καταχέαντες[u] καὶ ἐρίῳ στέψαντες, αὐτοὶ δ' ἂν[v] τῷ[w] αὐστηροτέρῳ καὶ[x] ἀηδεστέρῳ[y] ποιητῇ χρῴμεθα καὶ μυθολόγῳ ὠφελείας[z] ἕνεκα, ὃς ἡμῖν τὴν τοῦ ἐπιεικοῦς λέξιν μιμοῖτο καὶ τὰ λεγόμενα λέγοι[a] ἐν ἐκείνοις τοῖς τύποις οἷς κατ' ἀρχὰς ἐνομοθετησάμεθα,[b] ὅτε τοὺς στρατιώτας ἐπεχειροῦμεν παιδεύειν. Καὶ μάλ', ἔφη, οὕτως ἂν ποιοῖμεν,[c] εἰ ἐφ' ἡμῖν εἴη. Νῦν δή,[d] εἶπον ἐγώ, ὦ φίλε, κινδυνεύει ἡμῖν τῆς μουσικῆς τὸ περὶ λόγους τε καὶ μύθους παντελῶς διαπεπεράνθαι· ἅ τε γὰρ λεκτέον καὶ ὡς λεκτέον εἴρηται. Καὶ αὐτῷ μοι δοκεῖ, ἔφη.[e]

Οὐκοῦν μετὰ τοῦτο, ἦν δ' ἐγώ, τὸ περὶ ᾠδῆς τρόπου καὶ III. i. 130.
μελῶν λοιπόν. Δῆλα δή. Ἆρ' οὖν οὐ πᾶς ἤδη ἂν εὕροι[f] ἃ ἡμῖν λεκτέον περὶ αὐτῶν, οἷα[g] δεῖ εἶναι, εἴ περ μέλλομεν[h]

ΘΦr.—[w] καὶ t.—[x] αὐστηροτέρῳ καὶ om Ξ.—[y] καὶ τῷ ἀηδεστέρῳ t.—[z] ἀφελείας Π.—[a] λέγει ΦΚ.—[b] ἐνομοθετήσαμεν tv.—[c] ποιοῦμεν m.—[d] δέ s.—[e] ἔφη δοκεῖ v.—[f] ἂν εὕροιτο ΘΠΦDKqr, εὕροι ἂν t.—[g] οἷ q, καὶ οἷα r et rc Ξ cum s...δὴ Θmr.—[h] μέλλοιμεν

stides Orat. Platon. iii. t. ii. p. 326. *ἀλλὰ νὴ Δία, ὡς Ὅμηρον μύρῳ χρίσας ἐκπέμπει, χελιδόνος τιμὴν καταθεὶς, οὕτως καὶ ἡμεῖς Πλάτωνα ἐκπέμπειν ἐκ τῶν πόλεων ἐκελεύομεν ἢ μετ' ἀδείας τοσαύτης κακῶς αὐτὸν εἰρήκαμεν.* Theodoret. contra Græc. Serm. ii. de principio p. 22. *μύρῳ γε ἀλείψας, καθάπερ αἱ γυναῖκες τὰς χελιδόνας, ἐκ τῆς ὑπ' αὐτοῦ ξυντεθείσης ἀπέπεμψε πόλεως, ἀκολασίας καλέσας καὶ δυσσεβείας διδάσκαλον.* Notum vero est Pythagoreum symbolum, quod hirundinem non esse domo recipiendam significat (v. Plutarch. Sympos. viii. 7. p. 728.) in quo quidem explicando alii hirundinem statuunt imaginem esse infidæ amicitiæ, alii loquacitatis (unde *χελιδόνων μουσεῖα*), v. Erasm. Adag. Chil. i. Centur. i. p. 18. Chil. ii. Centur. ii. p. 327. ed. Colon. Hinc conjicere possumus, quod a mulieribus venerationis causa fieri solitum esset (hirundo enim læta erat veris nuntia), id Platonem *πυθαγορίζοντα*, ut solet, ad irrisionem accommodasse, poetas quasi hirundinibus comparantem, ut qui læta specie deludant, sicuti hirundines inconstantes, infidæ (ut quæ vere elapso devolent) et garrulæ (poetæ mendaces). Similis inest irrisio in verbis *ἐρίῳ στέψαντες*, quæ Reinesius in Append. ad Epist. p. 328. (ed. Jen. 1670. 4.) diverse tentavit. Ni fallor enim, *ἔριον* referendum est ad velamenta illa s. vittas supplicum, quibus *ἱκετηρία*, i. e. oleæ ramus involutus erat (hoc erat *στέμμα*, *infula*, v. Il. A. 14. Cf. Feith. Antiq. Homer. iii. 4. Sic et Suidas t. i. p. 855. v. *ἐρίῳ* explicat *στέμμα περιθέντες*); hinc *λευκοστεφεῖς ἱκετηρίας*, Æsch. Suppl. 194. Igitur *μῦρον κατὰ τῆς κεφαλῆς καταχέαντες* est: eos dimittentes ut homines, quos lex urbe recipi vetet (Pythagor. symbolum), et *ἐρίῳ στέψαντες* ramum vittasque supplicum iis dantes, ut alii misericordia commoti in civitatem suam recipiant. Et de industria mihi videtur Plato hæc solummodo innuisse, non clare exposuisse, ut ne poetas, qui tanto florebant honore, directe carpendo invidiam æqualium sibi conflaret. Ceterum plures h. l. respexerunt et imitati sunt. Cicero l. iv. de Republ. apud Nonium: 'ego vero eodem, quo ille Homerum, redimitum coronis et delibutum unguentis, emittit ex ea urbe, quam sibi ipsi fingit' (v. P. Victor. Var. Lect. iv. 13.) Joseph. contr. Apion. i. §. 36. Euseb. Præp. Evang. v. 12. Maxim. Tyr. xxiii. 3. p. 279. ubi v. Davis. Gregor. Naz. Orat. xxiii. p. 412. D. Cf. Elmenhorst. ad Minuc. Felic. Octav. p. 204. ed. Ouzel. Græv. Lect. Hesiod. c. xxiii. et Marcland. ad Maxim. Tyr. xxiv. p. 696. Ast.

τοῖς προειρημένοις συμφωνήσειν;[i] [§. 10.] Καὶ ὁ Γλαύκων ἐπιγελάσας, Ἐγὼ τοίνυν, ἔφη, ὦ Σώκρατες, κινδυνεύω ἐκτὸς[j] τῶν[k] πάντων εἶναι· οὔκουν ἱκανῶς γε[l] ἔχω ἐν τῷ παρόντι ξυμβαλέσθαι[m] ποῖ'[n] ἄττα δεῖ[o] ἡμᾶς λέγειν,[p] ὑποπτεύω[q] μέντοι. Πάντως[r] δή[s] που, ἦν δ' ἐγώ, πρῶτον μὲν τόδε ἱκανῶς ἔχεις λέγειν, ὅτι τὸ μέλος ἐκ τριῶν ἐστὶ συγκείμενον, λόγου τε καὶ ἁρμονίας καὶ ῥυθμοῦ. Ναί, ἔφη, τοῦτό γε. Οὐκοῦν ὅσον γε[t] αὐτοῦ λόγος ἐστίν, οὐδὲν δή που διαφέρει τοῦ[u] μὴ[v] ᾀδομένου[w] λόγου πρὸς τὸ ἐν τοῖς αὐτοῖς δεῖν τύποις[x] λέγεσθαι οἷς ἄρτι προείπομεν καὶ ὡσαύτως; Ἀληθῆ, ἔφη. Καὶ μὴν τήν γε[y] ἁρμονίαν καὶ ῥυθμὸν ἀκολουθεῖν δεῖ τῷ λόγῳ. Πῶς δ' οὔ; Ἀλλὰ μέντοι θρήνων τε[z] καὶ ὀδυρμῶν ἔφαμεν ἐν λόγοις οὐδὲν προσδεῖσθαι. Οὐ γὰρ οὖν.[a] Τίνες οὖν θρηνώδεις ἁρμονίαι; λέγε μοι· σὺ[b] γὰρ μουσικός. Μιξολυδιστί, ἔφη, καὶ συντονολυδιστὶ[c] καὶ τοιαῦταί τινές. Οὐκοῦν αὗται, ἦν δ' ἐγώ, ἀφαιρετέαι· ἄχρηστοι γὰρ καὶ γυναιξὶν ἃς δεῖ ἐπιει-

rc *q*.—[i] συμφωνῆσαι 𝔪.—[j] ἐκτὸς τούτων Ξ*ts*.—[k] τῶν om K.—[l] γ' *v*, σε *t*, om K*q*.—[m] ξυμβάλλεσθαι ΘΠΦDK*q*𝔯.—[n] ποῖ' *v*.—[o] δοκεῖ *t*𝔪.—[p] λέγειν ἡμᾶς Φ𝔯.—[q] ὑποπτεύομέν τοι 𝔪.—[r] πάντας Φ𝔯.—[s] δέ Φ.—[t] γε om K.—[u] διαφέροι ἂν τοῦ *q*.—[v] ἡμῖν *q*.—[w] διδομένου ΠΦD𝔯, δεδομένου *q*.—[x] τόποις Φ𝔯.—[y] τε Ξ*t*𝔪.—[z] γε *v*.—[a] γὰρ οὖν ΘΠDK*qv*𝔯 : γὰρ οὔ *ς.—[b] οὐ *t*.—[c] σύντονοι λυδιστί ΦDK*qv*𝔯, σύντονοι λυδι-

§. 10. ἐκτὸς τούτων τῶν πάντων] Cod. Reg. et Ven. legunt ἐκτὸς πάντων; sed quum πάντων respiciat illud πᾶς in Socratis oratione: πᾶς ἤδη ἂν εὕροι, recte τούτων τῶν adest. Ast.

διαφέρει] Ald. Bas. 1. et 2. διαφέρειν, sed Ficinus habet *differt*, quod sensus postulat. Ast.

μὴ ᾀδομένου] Bas. 2. et Cod. Reg. μὴ διδουμένου. Ast.

ἡ μιξολυδιστὶ] Hic, ut infra ἡ ἰαστὶ, articulum sponte adjecimus, quia abesse nequit, ut Steph. jam monuerat. Ceterum *modos* s. tonos (ἁρμονίας s. τρόπους), initio tres fuisse dicunt: Doricum, gravissimum, Phrygium, medium, et Lydium, summum, vid. Ptolemæi Harm. ii. 10. Plutarch. de Music. p. 1134. A. Heraclides vero Ponticus apud Athen. xiv. p. 624. C. has ponit harmonias: Doricam, Æolicam et Ionicam, quibus accesserint duæ barbaræ harmoniæ, Phrygia et Lydia, utpote ab iis invectæ, qui Pelopem in Peloponnesum venientem secuti essent. Sed de harmoniarum numero veteres sibimet ipsis non constant. Vid. Euclid. Harmon. p. 19. et Olear. ad Philostrat. vit. Apoll. Tyan. i. 30. p. 37. Tredecim, quas Aristoxenus dicitur introduxisse, harmoniæ artificiosæ erant tonorum simplicium compositiones, in his mixolydius tonus et hypermixolydius. Ceterum respexit h. l. Aristoteles Polit. viii. 5. (§. 8. p. 327. ed. Schneider.): εὐθὺς γὰρ ἡ τῶν ἁρμονιῶν διέστηκε φύσις, ὥστε ἀκούοντας ἄλλως διατίθεσθαι καὶ μὴ τὸν αὐτὸν ἔχειν τρόπον πρὸς ἑκάστην αὐτῶν, ἀλλὰ πρὸς μὲν ἐνίας ὀδυρτικωτέρως καὶ συνεστηκότως μᾶλλον, οἷον πρὸς τὴν μιξολυδιστὶ καλουμένην, πρὸς δὲ τὰς μαλακωτέρως τὴν διάνοιαν, οἷον πρὸς τὰς ἀνειμένας (quas Plato χαλαρὰς vocat), μέσως δὲ καὶ καθεστηκότως μάλιστα πρὸς ἑτέραν, οἷον δοκεῖ ποιεῖν ἡ Δωριστὶ μόνη τῶν ἁρμονιῶν, ἐνθουσιαστικοὺς δ' ἡ Φρυγιστί. Reprobavit vero hæc Platonis verba Heraclides Pontic. apud Athen. l. c. Ast.

κεῖς εἶναι, μὴ ὅτι ἀνδράσιν. Πάνυ γε. Ἀλλὰ μὴν μέθη[d] γε φύλαξιν ἀπρεπέστατον καὶ μαλακία καὶ ἀργία. Πῶς γὰρ οὔ; Τίνες οὖν μαλακαί τε καὶ συμποτικαὶ[e] τῶν ἁρ- III. i. 131.
μονιῶν; Ἰαστί, ἦ δ' ὅς, καὶ λυδιστί,[f] αἵ τινες[g] χαλαραὶ καλοῦνται. Ταύταις οὖν, ὦ φίλε,[h] ἐπὶ πολεμικῶν ἀνδρῶν II. 399.
ἔσθ' ὅ τι χρήσει;[i] Οὐδαμῶς, ἔφη· ἀλλὰ κινδυνεύει σοι δωριστὶ λείπεσθαι καὶ φρυγιστί. Οὐκ οἶδα, ἔφην ἐγώ,

στισί Θ.—[d] μέθυ t.—[e] συμποτικαὶ om v.—[f] λυδιαστί ΘDKqvr.—[g] καὶ τοιαῦταί τινες ΘΦDKqr et corr Π, καίτοι αὖ τινες v.—[h] φίλ' v.—[i] χρήσει DKr.—[j] τὰς ἁρμο-

Ἰαστὶ] Non dubito quin Plato scripserit ἡ Ἰαστί. Sed et adverbio Λυδιστὶ fortasse præfixus ab eo fuit ille articulus: qui tamen non est necessarius ut ante Ἰαστὶ, quum ex hoc loco repetitus subaudiri in illo possit. Quod autem de hoc dico loco, idem et de eo dicendum fuerit qui est in principio p. seq. ἀλλὰ κινδυνεύει σοὶ Δωριστὶ λείπεσθαι καὶ Φρυγιστί. nam utrique adverbio aut priori saltem præponendum censeo articulum. Subaudietur autem ubique ἁρμονία. Steph.

ἡ Ἰαστὶ] Lydia et Ionica harmonia erant remissæ ac laxæ, ideoque Doricæ gravitati ac severitati oppositæ. Vituperat Aristoteles Polit. viii. 7. (§. 8. p. 334. Schneid.) Platonem in eo, quod laxas mollesque harmonias e civitate sua exegerit: τοῖς ἀπειρηκόσι διὰ χρόνον οὐ ῥᾴδιον ᾄδειν τὰς συντόνους ἁρμονίας, ἀλλὰ τὰς ἀνειμένας ἡ φύσις ὑποβάλλει τοῖς τηλικούτοις· διὸ καλῶς ἐπιτιμῶσι καὶ τοῦτο Σωκράτει τῶν περὶ τὴν μουσικήν τινες, ὅτι τὰς ἀνειμένας ἁρμονίας ἀποδοκιμάσειεν εἰς τὴν παιδείαν, ὡς μεθυστικὰς λαμβάνων αὐτὰς, οὐ κατὰ τὴν τῆς μέθης δύναμιν—βακχευτικὸν γὰρ ἥ γε μέθη ποιεῖ μᾶλλον—ἀλλ' ἀπειρηκυίας. ὥστε καὶ πρὸς τὴν ἐσομένην ἡλικίαν τὴν τῶν πρεσβυτέρων δεῖ καὶ τῶν τοιούτων ἁρμονιῶν ἅπτεσθαι καὶ τῶν μελῶν τῶν τοιούτων. Sed utramque harmoniam, enervem, i. e. Ionicam, et convivio convenientem (ξυμποτικὴν), i. e. Lydiam, nomine χαλαρᾶς, *mollis*, recte Plato complectitur; mollitia enim et in inertia (ἀργίᾳ) et in moribus dissolutis cernitur; hinc τὸ βακχικὸν, quod Lydiæ harmoniæ proprium erat (v. Lucian. Hermot. §. 1. t. i. p. 401.) et τὸ μαλακὸν s. γλαφυρὸν (v. Lucian l. l.) in quo Ionica harmonia conspicua erat, conjungit. Ast.

ἡ Δωριστὶ] Articulum iterum adjecimus. Doricæ harmoniæ proprium erat τὸ σεμνὸν, Phrygiæ vero τὸ ἔνθεον (v. Lucian. l. l.) Aristotel. Polit. viii. 7. περὶ δὲ τῆς Δωριστὶ πάντες ὁμολογοῦσιν, ὡς στασιμωτάτης οὔσης καὶ μάλιστ' ἦθος ἐχούσης ἀνδρεῖον· ἔτι δὲ ἐπεὶ τὸ μέσον μὲν τῶν ὑπερβολῶν ἐπαινοῦμεν (Dorica enim harmonia media erat inter remissionem, id est, mollitiam Lydiæ, et intentionem, id est, incitationem Phrygiæ), καὶ χρῆναι διώκειν φαμὲν, ἡ δὲ Δωριστὶ ταύτην ἔχει τὴν φύσιν πρὸς τὰς ἄλλας ἁρμονίας, φανερὸν, ὅτι τὰ Δώρια μέλη πρέπει πριδεύεσθαι μᾶλλον τοῖς νεωτέροις. Quocirca jam Pythagoras traditur Doricam et harmoniam et dialectum unice probasse, v. Iamblich. de vit. Pythag. xxxiv. p. 194. ed. Küst. Procl. in Polit. p. 365. v. 13. infr. et p. 366. v. 2. Sic et in Lach. p. 188. D. Dorica harmonia dicitur μόνη Ἑλληνική. De Phrygiæ harmoniæ enthusiasmo v. Procl. in Polit. p. 366. et Burett. ad Plutarch. de Music. in Mem. Acad. Inscript. t. xi. p. 44. ed. Amstel. Ceterum Aristoteles in Polit. l. l. etiam hoc reprobat, quod Phrygiam harmoniam cum Dorica reliquerit Plato: ὁ δ' ἐν τῇ Πολιτείᾳ Σωκράτης οὐ καλῶς τῶν Φρυγιστὶ μόνην καταλείπει μετὰ τῆς Δωριστὶ, καὶ ταῦτα ἀποδοκιμάσας τῶν ὀργάνων τὸν αὐλόν· ἔχει γὰρ τὴν αὐτὴν δύναμιν ἡ Φρυγιστὶ τῶν ἁρμονιῶν, ἥνπερ αὐλὸς ἐν τοῖς ὀργάνοις· ἄμφω γὰρ ὀργιαστικὰ καὶ παθητικά. Sed bene monet Proclus (v. Schol. Ruhnk. p. 155.) τὴν μὲν Δώριον ἁρμονίαν εἰς παιδείαν ἐξαρκεῖν ὡς καταστηματικὴν, τὴν δὲ Φρύγιαν εἰς ἱερὰ καὶ ἐνθεασμοὺς, ὡς ἐκστατικήν. Et si dithyrambus, ut ipse dicit Aristoteles l. l. nullam aliam nisi Phrygiam harmoniam admittit, quomodo Plato dithyrambicam poesin civitate sua recipere potuisset ejecta harmonia Phrygia? Et in universum quum duo hominis status ac conditiones sint, altera ejus, cujus animus ac vires summopere intentæ sunt in conflictione cum infor-

τὰς ἁρμονίας,[j] ἀλλὰ κατάλιπε[k] ἐκείνην τὴν ἁρμονίαν ἣ ἔν τε πολεμικῇ πράξει ὄντος ἀνδρείου καὶ ἐν πάσῃ βιαίῳ ἐργασίᾳ πρεπόντως ἂν μιμήσαιτο φθόγγους τε καὶ προσῳδίας, καὶ ἀποτυχόντος ἢ εἰς τραύματα ἢ εἰς[l] θανάτους ἰόντος ἢ εἴς τινα[m] ἄλλην ξυμφορὰν πεσόντος, ἐν[n] πᾶσι τούτοις παρατεταγμένως καὶ καρτερούντως ἀμυνομένου τὴν τύχην· καὶ ἄλλην αὖ ἐν εἰρηνικῇ τε καὶ μὴ βιαίῳ ἀλλ' ἐν ἑκουσίῳ πράξει ὄντος, ἤ[o] τινά τι[p] πείθοντός[q] τε[r] καὶ δεομένου, ἢ εὐχῇ θεὸν[s] ἢ διδαχῇ καὶ νουθετήσει ἄνθρωπον,[t] ἢ τοὐναντίον ἄλλῳ δεομένῳ ἢ διδάσκοντι ἢ μεταπείθοντι ἑαυτὸν ὑπέχοντα,[u] καὶ ἐκ τούτων πράξαντα[v] κατὰ νοῦν, καὶ μὴ ὑπερηφάνως ἔχοντα, ἀλλὰ σωφρόνως τε καὶ μετρίως ἐν πᾶσι τούτοις πράττοντά τε καὶ τὰ[w] ἀποβαίνοντα ἀγα-

νίας om *t*.—[k] καταλειπε A*v*.—[l] εἰς ante θανάτους add ΑΘΞΠΦ*tv*m𝔯.—[m] τὴν *v*.—[n] καὶ ἐν ΘΞ.—[o] ἢ...δεομένῳ om *t*.—[p] τε K*q*.—[q] πεπονθότος K*q* et (in mg posito πεποιθότος) D.—[r] τι Φ𝔯.—[s] θεῶν K*qv*.—[t] ἀνθρώπου K*q*, ἀνθρώπων *v*.—[u] ἐπέχοντα ΑΠΦDK*t*m𝔯 et (supra scripto παρέχοντα) Θ, ἐπέχοντος *v*, παρέχοντα *q*.—[v] πράξαντος...ἔχοντος...πράττοντός...ἀγαπῶντος *v*.—[w] τὰ om A*t*m.—[x] ἁρμονίας om *q*. καὶ

tunio, cum morte, cum aliis ejusdem generis, altera ejus, qui læta fruitur pace et quidquid facit, tranquillo et sedato agit animo, etiam duas oportere harmonias esse apparet, alteram concitatam, alteram sedatam ; atque illa est Phrygia, hæc Dorica. Ast.

παρατεταμένως] Hoc de emendatione reposuimus pro eo, quod libri omnes habent, *παρατεταγμένως*, *instructa acie*, cui hic locus nullus est ; accedit, quod pervulgaris est ac pæne solemnis vocum *παρατεταγμένως* et *παρατεταμένως*, *συντεταγμένως* et *συντεταμένως* permutatio, v. Bentlei. ad Callimach. Fragm. n. 233. Dorvill. ad Charit. p. 643. interpp. ad Aristoph. Plut. 325. Xenoph. Œcon. ii. 18. xx. 22. et Heusd. Spec. Crit. p. 105.—*Παρατεταμένως* est, ut Ficinus recte vertit, *constanter* ; namque *παρατείνεσθαι* est sæpenumero in aliqua re diu magnaque cum contentione occupari, v. Dorvill. ad Charit. p. 31. Mox *ἀνθρώπου* Cod. Reg. vitiose. Ast.

ὑπέχοντα] Videri posset fuisse dicendum *ὑπέχοντος*, servando eandem orationis formam : et subaudiendo accusativos ex præcedentibus repetitos, ut intelligeremus, *πρεπόντως ἂν μιμήσαιτο φθόγγους τε καὶ προσῳδίας ὑπέχοντος ἑαυτὸν ἄλλῳ δεομένῳ* etc. nisi, quod de hoc accusativo diceremus, idem et de multis qui sequuntur dicere esset necesse. Neque est tamen fortasse cur illa multitudo nos moveat, et vereamur eandem illorum in genitivos mutationem requirere : præsertim quum alii iterum genitivi ponantur, et cum iis accusativus *φθόγγους* una cum verbo *μιμήσονται* repetatur. sicut enim antea dixerat, *μιμήσαιτο φθόγγους ὄντος ἀνδρείου* etc. deinde *ἀποτυχόντος*, et *ἰόντος*, et *πεσόντος* etc. ita paulo post, *μιμήσαιτο φθόγγους δυστυχούντων*, *εὐτυχούντων*, etc. existimo enim hos genitivos ad illum accusativum pertinere, et dictum esse *ταύτας δύο ἁρμονίας, δυστυχούντων* (etc.) *αἵτινες φθόγγους μιμήσονται* pro eo quod (utendo ea collocatione verborum quæ usitatior est) dicendum erat, *ταύτας δύο ἁρμονίας αἵτινες φθόγγους μιμήσονται δυστυχούντων*. Sic autem relativum ab hoc scriptore multis in locis postponi videmus, ubi grammaticus sive naturalis (ut ita dicam) ordo postulat ut postponatur. Quod non animadversum fecit ut nonnulli eorum minime intellecti fuerint. Steph.

ὑπέχοντα] Conversa est oratio, ac si hæc participia non e substantivis *φθόγγους* et *προσῳδίας*, sed e verbo *μιμήσαιο* pendeant. Cujus generis *ἀνακολουθίαι* frequentissime reperiuntur. Ast.

πῶντα. ταύτας δύο ἁρμονίας,[x] βίαιον, ἑκούσιον, δυστυχούν- III. i. 132.
των, εὐτυχούντων, σωφρόνων, ἀνδρείων[y] αἵ τινες φθόγγους
μιμήσονται κάλλιστα, ταύτας λεῖπε.[z] Ἀλλ', ἦ δ' ὅς,
οὐκ ἄλλας αἰτεῖς[a] λείπειν[b] ἢ[c] ἃς νῦν δὴ[d] ἐγὼ[e] ἔλεγον.
Οὐκ ἄρα, ἦν δ' ἐγώ, πολυχορδίας γε οὐδὲ παναρμονίου[f]
ἡμῖν δεήσει ἐν ταῖς ᾠδαῖς τε καὶ μέλεσιν. Οὔ μοι, ἔφη,
φαίνεται.[g] Τριγώνων[h] ἄρα καὶ πηκτίδων[i] καὶ πάντων ὀρ-
γάνων ὅσα πολύχορδα καὶ πολυαρμόνια, δημιουργοὺς οὐ
θρέψομεν; Οὐ φαινόμεθα. Τί δέ;[j] αὐλοποιοὺς ἢ αὐλη-
τὰς παραδέξει[k] εἰς τὴν πόλιν; ἢ οὐ τοῦτο πολυχορδότατον,

βίαιον *t*.—[y] ἀνδρείων ἁρμονίας ΑΠDK*qtr*m.—[z] λίπε ΑΘΠDK*qr*r.—[a] αἰτεῖν K.—[b] λειπεῖν ΘΦ.—[c] ἀλλ' ἢ ΘΦr.—[d] νῦν δὴ A*tr*m, νῦν ἂν ΘΠDK*q*, νῦν αὖ Φr : δὴ νῦν ς.—[e] ἐγὼ om Ξ*tr*mς.—[f] παναρμονίων K.—[g] φαίνονται r.—[h] τρυγόνων *q*.—[i] πυκτίδων DK*q*r.—[j] δαί A, δ' *t*m.—[k] παραδέξει D.—[l] αὐτοῦ *t*.—[m] ὄντα om ΘΦr.—[n] μί-

βίαιον ἑκούσιον] Mendi manifesta sunt hæc verba; legendum *βιαίου ἑκουσίου*, quod pœnitet non reposuisse, quum et sensus et orationis cohærentia unice id flagitent. Sensus enim, ut prægressa docent, hic est, 'duas illas harmonias relinque, quæ optime imitabuntur voces vi coacti ac voluntarii, infelicis ac felicis, fortis ac temperati.' Igitur *βίαιος* et *ἑκούσιος* non ipsæ harmoniæ sunt, quod absurdum esset, sed *ὁ ἐν βιαίῳ* vel *ἑκουσίῳ πράξει ὢν*, ut in antecedentibus Plato dixit. Ceterum in verbis *σωφρόνων ἀνδρείων* sensus perspicuitas postulasset, ut inverso poneretur ordine *ἀνδρείων σωφρόνων*. Ast.

ἢ ἃς δὴ νῦν] Cod. Reg. *ἢ ἃς νῦν ἂν ἐγώ*. Bas. 2. *ἄλλῃ ἃς νῦν ἐγώ*. Ceterum laudat h. l. Athen. iv. p. 182. F. Ast.

παναρμονίου] Similiter Lucian. de Saltat. §. 7. t. i. p. 549. *ποικίλον τι καὶ παναρμόνιον*. Maxim. Tyr. xxxii. 4. p. 383. *παναρμόνιόν τι ὄργανον*. Ast.

τριγώνων—πηκτίδων] *τρίγωνον*, a triquetra forma sic dictum, describitur a Porphyrio in Ptolem. Harm. p. 217. Aristoteles Polit. viii. 6. *καὶ τὰ πρὸς ἡδονὴν συντείνοντα (ὄργανα) τοῖς ἀκούουσι τῶν χρωμένων, ἑπτάγωνα καὶ τρίγωνα καὶ σαμβῦκαι καὶ πάντα τὰ δεόμενα χειρουργικῆς ἐπιστήμης*.—Πηκτὶς unum erat ex antiquissimis instrumentis (v. Athen. iv. p. 182. E. xiv. 635. C.) de quo variæ sunt virorum doctorum sententiæ; vid. interpp. ad Anacreont. vi. 10. et ad Orphic. Argon. v. 411. Ast.

τὸ πολυχορδότατον] Invenitur lectio multo aptior, *τὰ πολυχορδότατα*: sed quid si mutandum etiam *πολυχορδότατα* in *πολύχορδα* dicamus? Steph.

τὸ πολυχορδότατον] Quod vulgo legitur, *τοῦτο πολυχορδότατον*, nullo modo stare potest; primo enim nihil præcedit, quo *τοῦτο* referri possit; deinde etiamsi dixeris, ex *αὐλοποιοὺς* et *αὐλητὰς* supplendam esse vocem *αὐλὸς*, tamen, quomodo Plato, qui supra *πολυχορδίαν* et *παναρμόνιον* recte distinxit, tibiam potuisset instrumentum *πολύχορδον* vocare, comprehendi non posset. Accedit, quod perquam durum esset ac pæne intolerabile, ex prægressis vocem *αὐλὸς* supplere, quum præsertim paulo post sequatur *αὐλοῦ*. Quocirca jam Cornarius legi jubebat *οὐ τὰ πολυχορδότατα*, Stephanus vero *οὐ τὰ πολύχορδα*; scilicet Ficinus ita vertit: *annon instrumenta multarum chordarum harmoniarumque omnium tibiam imitantur?* Quod lenissima nititur correctione, reposuimus, *οὐ τὸ* scribentes pro *οὐ τοῦτο*, ut *τὸ πολυχορδότατον*, int. *ὄργανον*, collective positum sit pro plurali; quanquam persuasi sumus, locum nondum persanatum et forsitan sic corrigendum esse: *ἢ οὐ τὰ πολύχορδα (vel πολυχορδότατα) καὶ αὖ* (et item, h. e. sicut etiam) *τὰ παναρμόνια αὐλοῦ τυγχάνει ὄντα μιμήματα*;—Ceterum jam Pythagorei tibiam repudiarunt. Iamblich. de Vit. Pythagor. xxv. p. 93. ed. Küster. *ὀργάνῳ δὲ χρῆσθαι λύρᾳ· τοὺς γὰρ αὐλοὺς ὑπελάμβανεν ὑβριστικόν τε καὶ πανηγυρικὸν καὶ οὐδαμῶς ἐλευθέριον τὸν ἦχον ἔχειν*. Nota quoque est veterum fabula de Minerva tibiam

καὶ αὐτὰ[l] τὰ παναρμόνια αὐλοῦ τυγχάνει ὄντα[m] μιμήματα;[n] Δῆλα δή, ἦ δ' ὅς. Λύρα δή σοι, ἦν δ' ἐγώ, καὶ κιθάρα λείπεται, καὶ[o] κατὰ πόλιν χρήσιμα·[p] καὶ αὖ κατ' ἀγροὺς τοῖς νομεῦσι σύριγξ ἄν τις εἴη. Ὡς γοῦν, ἔφη, ὁ λόγος ἡμῖν σημαίνει. Οὐδέν γε,[q] ἦν δ' ἐγώ, καινὸν[r] ποιοῦμεν, ὦ φίλε, κρίνοντες τὸν Ἀπόλλω καὶ τὰ[s] τοῦ[t] Ἀπόλλωνος ὄργανα πρὸ Μαρσύου τε καὶ τῶν ἐκείνου ὀργάνων. Μὰ Δί', ἦ δ' ὅς, οὔ μοι φαινόμεθα. Καὶ νὴ τὸν κύνα, εἶπον, λελήθαμέν γε διακαθαίροντες πάλιν ἣν ἄρτι τρυφᾶν ἔφαμεν πόλιν. Σωφρονοῦντές γε ἡμεῖς, ἦ δ' ὅς. [§. 11.]
III. i. 133. [w]Ἴθι δή, ἔφην, καὶ τὰ λοιπὰ καθαίρωμεν. ἑπόμενον γὰρ δὴ[u] ταῖς ἁρμονίαις ἂν ἡμῖν εἴη τὸ περὶ ῥυθμούς, μὴ ποικίλους αὐτοὺς διώκειν μηδὲ παντοδαπὰς βάσεις, ἀλλὰ βίου ῥυθμοὺς ἰδεῖν κοσμίου τε καὶ ἀνδρείου τίνες εἰσίν· οὓς ἰδόντα[v]

μημα A et pr Π.—[o] καὶ om Θ.—[p] χρήσιμα om t.—[q] γε om Θ.—[r] δεινόν s.—[s] κατὰ Φτ.—[t] τοῦ om Φ.—[u] δὴ om ΘΦτ.—[v] ἰδόντας s.—[w] τοιούτου Am, τοῦ τοιούτου v,

abjiciente, v. Aristotel. Polit. viii. 6. (§. 8. p. 331. Schneid.) Cf. Procl. in Polit. p. 366. v. 10. 11. et de variis tibiarum generibus Athen. iv. 80. p. 182. C. Pollux iv. 77. 81. Ast.

καὶ κατὰ πόλιν χρήσιμα] I. e. *ὡς κατὰ πόλιν χρήσιμα*, int. *ὄντα*, sicuti (*καὶ αὖ*) in agris fistula fere (i. e. sane, h. e. *perutilis; τὶς* enim, ut constat, urbane intendit et affirmat) utilis erit. *Καί*, quod ante *κατὰ πόλιν* legitur, expungendum duco; est enim non solum otiosum, sed turbat etiam orationis continuationem. Ast.

οὐδέν γε—καινὸν] Præstantem hanc scripturam cod. Reg. suppeditavit, quam, quum a Ficino confirmatam vidissemus (vertit enim: *nihil alienum*), recipere non dubitavimus. Sensus est rei convenientissimus: nihil novi, inauditi et singulare facimus, Apollinis instrumenta iis præferentes, quibus Marsyas excelluit. Sic l. iii. 20. p. 474. C. *μηδὲν καινὸν—ἀλλὰ Φοινικικόν τι.* Vid. de hac vocis *καινὸς* significatione Raphel. ad Joh. xiii. 34. et Gataker. Advers. Miscell. postum. c. 28. Accedit, quod ipsæ fabulæ, quæ Minervam tradunt abjecisse aulam et Marsyam, quum aula certare cum Apolline citharista ausus esset, a Deo victum occisumque esse, præstantiam significant, quam antiquitas citharæ tribuebat. Igitur minime *καινόν τι* erat, Apollinis instrumenta iis, quibus Marsyas usus esse traditur, anteponere. Ceterum de Marsya, Olympi vel Œagri filio, ejusque certamine cum Apolline vid. Apollodor. i. 4. 2. ubi v. interpp. Hygin. Fab. 165. ubi v. Munk. interpp. ad Ovid. Metam. vi. 396. et Bottigeri scriptionem in Mus. Attico t. i. p. ii. p. 353. Ast.

σωφρονοῦντές γε] Int. *τοῦτο ποιοῦμεν*, i. e. *σωφρονοῦμέν γε τοῦτο ποιοῦντες*, v. nostra ad Phædr. p. 253. Ibi laudatis exemplis addere potes Hipparch. 231. C. *οὐκ ἀδίκως γε σὺ ἀπορῶν.* Dialog. de Just. p. 375. A. *καλῶς γέ σοι δοκοῦν.* Ast.

§. 11. *παντοδαπὰς βάσεις*] Respexit Longin. xxxiv. §. 2. et eandem sententiam adumbravit Dio Chrysost. Orat. ii. de Regno p. 30. A. B. C. Ceterum *βάσιν* Weiskius ad Longin. p. 443. pro clausula rhythmi habebat, sed ni fallor, *βάσις*, i. e. *fundamentum rhythmi*, est pes rhythmice compositus s. conjunctus, quasi principium rhythmicæ orationis; hinc *βάσις ἰαμβικὴ* (versus monometer iambicus), *δακτυλική, ἀναπαιστική.* Ast.

οὓς ἰδόντα] Sic Ald. Bas. 1. 2. et Cod. Reg. de conjectura igitur Steph. scripsit *ἰδόντας*, sine causa; namque ut in verbis prægressis *μὴ ποικίλους διώκειν—ἀλλὰ ἰδεῖν*, non *ἡμᾶς*, sed persona indefinita (*man*) subjectum est, quod dicitur, quoniam verba *ἑπόμενον—ἂν ἡμῖν εἴη τὸ περὶ ῥυθμοὺς* sunt legem quasi civibus suis

τὸν πόδα τῷ τοιούτῳ[w] λόγῳ ἀναγκάζειν ἕπεσθαι καὶ τὸ II. 400.
μέλος, ἀλλὰ μὴ λόγον ποδί τε καὶ μέλει· οἵ τινες[x] δ' ἂν
εἶεν οὗτοι οἱ ῥυθμοί, σὸν ἔργον, ὥς περ τὰς ἁρμονίας, φρά-
σαι. Ἀλλὰ μὰ Δί', ἔφη, οὐκ ἔχω λέγειν. ὅτι μὲν γὰρ
τρία[y] ἅττα ἐστὶν εἴδη ἐξ ὧν αἱ βάσεις πλέκονται, ὥς περ
ἐν τοῖς φθόγγοις τέτταρα[z] ὅθεν[a] αἱ[b] πᾶσαι ἁρμονίαι, τεθε-
αμένος ἂν[c] εἴποιμι·[d] ποῖα[e] δ' ὁποίου[f] βίου μιμήματα, λέ-
γειν οὐκ ἔχω. Ἀλλὰ ταῦτα μέν, ἦν δ' ἐγώ, καὶ μετὰ
Δάμωνος[g] βουλευσόμεθα, τίνες τε ἀνελευθερίας[h] καὶ ὕβρε-
ως ἢ μανίας καὶ ἄλλης κακίας πρέπουσαι βάσεις, καὶ τί-
νας τοῖς ἐναντίοις λειπτέον[i] ῥυθμούς. οἶμαι δέ με[j] ἀκηκοέ-
ναι οὐ σαφῶς ἐνόπλιόν τέ τινα ὀνομάζοντος αὐτοῦ ξύνθετον
καὶ δάκτυλον καὶ ἡρῷόν γε, οὐκ οἶδα ὅπως διακοσμοῦντος[k]
καὶ ἴσον ἄνω καὶ κάτω τιθέντος, εἰς βραχύ τε καὶ μακρὸν
γιγνόμενον, καὶ ὡς ἐγῷμαι, ἴαμβον καί τιν'[l] ἄλλον τρο-
χαῖον ὠνόμαζε,[m] μήκη δὲ καὶ βραχύτητας προσῆπτε.[n] καὶ III. i. 134.
τούτων τισὶν οἶμαι τὰς ἀγωγὰς τοῦ ποδὸς αὐτὸν οὐχ ἧττον
ψέγειν τε καὶ ἐπαινεῖν ἢ τοὺς ῥυθμοὺς αὐτούς,[o] ἤτοι[p] ξυν-

ου
τουτων Θ, τούτου DK*q*, τοῦτοι Π, τούτοιν Φ𝔯.—[x] οἵ τινες...λέγειν om Φ𝔯.—[y] τοί' v𝔪𝔯, τί *t*.—[z] τέσσαρα *t*.—[a] ἐξ ὧν DK*q*.—[b] αἱ om Ξ*q*.—[c] ἂν καὶ *t*.—[d] ἐπίοιμι ΘΞΠ DK*qt* et γρ 𝔪, ἐπίειμι Φ𝔯.—[e] ποῖα...βίου om A.—[f] δὲ ποίου *t*v𝔪.—[g] δαίμονος Ξ.—[h] ἂν ἐλευθερίας K𝔯.—[i] λειπτέον ΑΘΠΦD*t*v𝔪𝔯 : ληπτέον *ς.—[j] γε *t*v𝔪ς.—[k] διακοσμοῦντας Θ.—[l] τι (omissis ἄλλον...βραχύτητας) ΘΠΦDK*q*𝔯.—[m] ὀνόμαζε 𝔪, ὄνομα v.—[n] προσῆπτε...ἀγωγὰς om v.—[o] αὐτοῦ ΘΠDK𝔯.—[p] ἤ τι ΘΦ.—[q] τι om Φ.—

scribentis, sic etiam in his *ἰδόντα—ἀναγκάζειν* persona indefinita pro subjecto haberi debet. Vid. quæ supra de eo genere exposuimus. Ast.

ἀλλὰ μὴ λόγον] Musica videlicet, quum principio servisset poesi, mox, sublata naturali, quæ inter has artes intercedit, ratione adeo prævaluit, ut poesin sibi subjiceret verbaque sibi servire cogeret. Cf. Athen. xiv. p. 617. C. D. Ast.

πλέκονται] Tres hæ formæ, ni fallor, sunt eæ, quæ ex ratione proficiscuntur inter arsin et thesin intercedente; hæ enim vel sibi pares sunt, ut in numero *dactylico*, vel impares duplici ratione, ut in *iambico* et *trochaico*. Ast.

τέτταρα ὅθεν] Quatuor hæ rationes sunt ὁ λόγος ἐπίτριτος (intervallum διὰ τεττάρων, 4 : 3. quarta perfecta), ὁ ἡμιόλιος (διὰ πέντε, 3 : 2. quinta), ὁ διπλάσιος (διὰ πασῶν : 4 : 2. octava) et ὁ τετραπλάσιος (δὶς διὰ πασῶν, 4 : 1.) Cf. Philo de Mundi Opific. t. i. p. 28. ed. Pfeiff. Stobæi Eclog. Phys. t. i. p. 464. Sext. Empir. Pyrrh. Hypotyp. iii. 18. §. 155. adv. Arithmet. iv. 7. p. 333. Macrob. in Somn. Scip. ii. 1. p. 121. Bip. Ast.

Δάμωνος] Damo musicus, quo Pericles utebatur magistro, passim commemoratur in dialogis Socraticis, ut Lachet. p. 180. D. 200. A. Alcibiad. i. p. 109. D. (Scholiast. Ruhnk. p. 73.) Axioch. p. 364. A. Cf. Plutarch. vit. Pericl. c. 4. Diogen. L. ii. 19. Liban. Apol. Socrat. t. iii. p. 56. Ast.

καὶ τούτων τισὶν] Ficinus vertit : *et in aliquibus istorum arbitror eum vituperare vel laudare ductiones pedis non minus, quam rhythmos ipsos* ; quocirca ἐν τούτων τισὶ videtur legisse. Ast.

ἀμφότερόν τι·[q] οὐ γὰρ ἔγωγε[r] ἔχω λέγειν. ἀλλὰ ταῦτα μέν, ὥς περ εἶπον, εἰς Δάμωνα ἀναβεβλήσθω· διελέσθαι γὰρ οὐ σμικροῦ λόγου. ἢ σὺ οἴει; Μὰ Δί' οὐκ ἔγωγε. Ἀλλὰ τόδε γε, ὅτι τὸ τῆς εὐσχημοσύνης τε[s] καὶ ἀσχημοσύνης[t] τῷ εὐρύθμῳ τε καὶ ἀῤῥύθμῳ ἀκολουθεῖ, δύνασαι[u] διελέσθαι; Πῶς δ' οὔ; Ἀλλὰ μὴν τὸ εὔρυθμόν γε[v] καὶ ἄῤῥυθμον τὸ[w] μὲν τῇ καλῇ λέξει ἕπεται ὁμοιούμενον, τὸ δὲ τῇ ἐναντίᾳ, καὶ τὸ εὐάρμοστον καὶ ἀνάρμοστον[x] ὡσαύτως, εἴ περ ῥυθμός γε[y] καὶ ἁρμονία λόγῳ, ὥς περ ἄρτι ἐλέγετο, ἀλλὰ[z] μὴ λόγος[a] τούτοις. Ἀλλὰ μήν, ἦ δ' ὅς, ταῦτά γε λόγῳ ἀκολουθητέον. Τί δ' ὁ τρόπος τῆς λέξεως, ἦν δ' ἐγώ, καὶ ὁ λόγος;[b] οὐ τῷ τῆς ψυχῆς ἤθει ἕπεται; Πῶς γὰρ οὔ; Τῇ δὲ λέξει τἆλλα; Ναί. Εὐλογία ἄρα καὶ εὐαρμοστία καὶ εὐσχημοσύνη καὶ εὐρυθμία εὐηθείᾳ[c] ἀκολουθεῖ, οὐχ ἣν ἄνοιαν οὖσαν ὑποκοριζόμενοι καλοῦμεν ὡς εὐήθειαν, ἀλλὰ τὴν ὡς ἀληθῶς εὖ τε[d] καὶ καλῶς τὸ ἦθος κα-
III. i. 135. τεσκευασμένην[e] διάνοιαν. Παντάπασι μὲν οὖν, ἔφη. Ἆρ' οὖν οὐ πανταχοῦ[f] ταῦτα διωκτέα τοῖς νέοις, εἰ μέλλουσι τὸ αὑτῶν[g] πράττειν; Διωκτέα μὲν οὖν.[h] Ἔστι δέ γέ που
II. 401. πλήρης μὲν γραφικὴ αὐτῶν καὶ πᾶσα ἡ τοιαύτη δημιουργία, πλήρης[i] δὲ ὑφαντικὴ καὶ ποικιλία καὶ οἰκοδομία καὶ πᾶσα αὖ[j] ἡ τῶν ἄλλων σκευῶν ἐργασία, ἔτι δὲ[k] ἡ τῶν σω-

[r] ἔγωγε om AΞDK*qtvm*.—[s] τε om Φ*r* et pr Θ.—[t] καὶ ἀσχημοσύνης om ΠΦ*r* et pr ΘD.—[u] δύνασθε Θ*r*, δύνασθαι ΠΦ.—[v] γε ΑΘΠ : τε *ς.—[w] καὶ τὸ ἄρρυθμον ΘΞΠΦ *tvmr*.—[x] καὶ ἀνάρμοστον om A.—[y] τε Φ*vr*.—[z] ἐλέγετο ἀκολουθεῖ ἀλλὰ *q*.—[a] λόγος ἕποιτο τούτοις rc Θ.—[b] καὶ ὁ λόγος om *q*.—[c] εὐηθία ΠΜ, εὐηθιεια Θ, εὐήθεια Φ, καὶ
γ έ
τῇ εὐηθεία *t*, τε εὐηθεία *v*.—[d] γε Φ*v*.—[e] κατεσκευασμένου *q*, κατασκευασδμην *t*, κατασκευασμένην *v*.—[f] πανταχῇ Φ*vr*.—[g] ἑαυτῶν *v*.—[h] διωκτέα μὲν οὖν om *q*.—[i] πλήρης...οἰκοδομία om ΘΦK*r*.—[j] πᾶσα ἡ τοιαύτη δημιουργία καὶ ΠD*q* : om ΘΦK*r*.—[k] δ'

ἢ σὺ οἴει] Pro ἦ scripsimus ἤ, sensu jubente : an tu putas, int. *σμικροῦ εἶναι λόγου*; Hinc Glauco, Μὰ Δία, respondet, *οὐκ ἔγωγε*, int. *οἴομαι*. Ficinus ἦ legit; vertit enim: *num tu putas?* Gl. *Prolixa per Jovem.* Constans hic est usus conjunctionis ἤ, *an*, etiam interrogatione non præcedente, sed intellecta quasi, ut h. l. nonne prolixæ hoc est orationis? *an tu aliter judicas?* Vid. nostra ad Phædr. p. 219. Valde miror Bastium in Add. ad Longin. iii. 4. p. 637. ed. Weisk. eorum sententiæ album calculum adjecisse, qui in altero orationis membro semper ἦ scribendum esse censeant. Ast.

ἀκολουθητέον] I. e. δεῖ ἀκολουθεῖν, v. ad l. viii. 5. *καταβατέον—ἕκαστον*. Ast.

οὐ τῷ τῆς ψυχῆς ἤθει ἕπεται] Musica enim universa proficiscitur ex animo ejusque affectionibus, v. Damon. apud Athen. xiv. p. 628. C. Hinc mirifica ipsius vis ad animum (v. Aristotel. Polit. viii. 5. Plutarch. de Music. p. 1140. B. Iamblich. de Vit. Pythag. xxv. p. 92. ed. Kust. Athen. xiv. p. 260. et Rittershus. ad Porphyr. p. 41. 45.) et harmoniæ musicæ ratio ad virtutem; cf. quæ notabimus ad ix. 13. Ast.

μάτων φύσις καὶ ἡ τῶν ἄλλων φυτῶν· ἐν πᾶσι γὰρ τού-
τοις ἔνεστιν εὐσχημοσύνη ἢ[l] ἀσχημοσύνη. καὶ ἡ μὲν ἀσχη-
μοσύνη καὶ ἀῤῥυθμία[m] καὶ ἀναρμοστία κακολογίας καὶ
κακοηθείας[n] ἀδελφά, τὰ δ' ἐναντία τοῦ ἐναντίου, σώφρονός
τε καὶ ἀγαθοῦ ἤθους, ἀδελφά τε καὶ μιμήματα. Παν-
τελῶς μὲν οὖν, ἔφη. [§. 12.] Ἆρ' οὖν τοῖς ποιηταῖς ἡμῖν
μόνον ἐπιστατητέον καὶ[o] προσαναγκαστέον τὴν τοῦ ἀγαθοῦ
εἰκόνα ἤθους ἐμποιεῖν τοῖς ποιήμασιν ἢ μὴ παρ' ἡμῖν ποιεῖν,
ἢ καὶ τοῖς ἄλλοις δημιουργοῖς ἐπιστατητέον καὶ διακωλυ-
τέον τὸ κακόηθες τοῦτο καὶ ἀκόλαστον καὶ ἀνελεύθερον καὶ
ἄσχημον μήτε[p] ἐν εἰκόσι ζώων μήτε ἐν οἰκοδομήμασι μήτε
ἐν ἄλλῳ μηδενὶ δημιουργουμένῳ ἐμποιεῖν, ἢ ὁ μὴ οἷός τε ὢν
οὐκ ἐατέος παρ' ἡμῖν[q] δημιουργεῖν,[r] ἵνα μὴ ἐν κακίας εἰ-
κόσι τρεφόμενοι ἡμῖν[s] οἱ φύλακες ὥς περ ἐν κακῇ βοτάνῃ, III. i. 136.
πολλὰ ἑκάστης ἡμέρας κατὰ σμικρὸν[t] ἀπὸ πολλῶν δρεπό-
μενοί τε καὶ νεμόμενοι,[u] ἕν τι ξυνιστάντες[v] λανθάνωσι κα-
κὸν μέγα ἐν τῇ αὐτῶν[w] ψυχῇ· ἀλλ' ἐκείνους ζητητέον τοὺς
δημιουργοὺς τοὺς εὐφυῶς δυναμένους ἰχνεύειν τὴν τοῦ κα-
λοῦ τε καὶ εὐσχήμονος φύσιν, ἵν' ὥς περ ἐν ὑγιεινῷ τόπῳ
οἰκοῦντες οἱ νέοι ἀπὸ παντὸς ὠφελῶνται,[x] ὁπόθεν ἂν αὐτοῖς
ἀπὸ τῶν καλῶν ἔργων ἢ πρὸς ὄψιν ἢ πρὸς[y] ἀκοήν τι προσ-
βάλῃ[z] ὥς περ αὔρα[a] φέρουσα ἀπὸ χρηστῶν τόπων ὑγίειαν,
καὶ εὐθὺς ἐκ παίδων λανθάνῃ[b] εἰς ὁμοιότητά τε καὶ φιλίαν

r.—[l] τε καὶ Φ, καὶ v.—[m] ἀραθυμία Π.—[n] κακονοίας ΘΠΦDKvr.—[o] καὶ om v.—[p] μήτ' vr.—[q] ὑμῖν K.—[r] δημιουργεῖν...τρεφόμενοι om t.—[s] ὑμῖν K, om v.—[t] κατὰ σμικρὸν om Φr.—[u] ἀνεμόμενοι (in mg rc posito ἀνιμώμενοι) A, γευόμενοι mg D.—[v] ξυνιστῶντες K.—[w] ἑαυτῶν r.—[x] ὠφελῶνται ἀπὸ παντὸς s.—[y] πρὸς om Φr.—[z] προσβάλοι q, προσβάλλῃ tv.—[a] αὔρα v, λύρα ΠΦKr er pr A.—[b] λανθάνει r.—

ἀναρμοστία] Post *ἀναρμοστία* Ficinus quoque interpungit: quod si cum *κακολογίας* jungeretur, particula *καὶ* ante *κακοηθείας* expungenda esset. STEPH.

κακοηθείας] Cod. Reg. *κακονοίας*; sed rectius habet vulgata scriptura; est enim *κακοήθεια* opposita *τῇ εὐηθείᾳ*. AST.

§. 12. *ἐπιστατέον*] Sic Ald. Bas. 1. 2. et cod. Reg. Steph. de conjectura, ut videtur, *ἐπιστατητέον* reposuit, quod sequens *καὶ τοῖς ἄλλοις δημιουργοῖς ἐπιστατητέον* confirmat. Quocirca haud dubie Platoni restituendum est. AST.

οἰκοδομήμασι] Ald. Bas. 1. et 2. *οἰκοδομήσασι* (f. *οἰκοδομήσεσι*). AST.

προσβάλῃ] Sic Ald. et Steph. Bas. 1. et 2. *προσβάλλῃ*. Ceterum *προσβάλλειν*, sensu neutrali, i. q. *προσελθεῖν*, *accedere* (v. Boissonad. ad Philostrat. p. 303.) inprimis de iis usurpatur, quæ ad sensus quocunque demum modo accidunt, v. Koen. ad Gregor. Corinth. p. 14. AST.

αὔρα φέρουσα] Est: *φέρον τι ἀγαθὸν s. καλὸν, ὥσπερ αὔρα ἀπὸ χρηστῶν τόπων ὑγίειαν ἄγουσα*. AST.

λανθάνῃ] Ald. Bas. 1. et 2. *λανθάνει*, vitiose, quum pendeat hoc verbum e particula *ἵνα*: *καὶ ἵνα* (*ἡ τοῦ καλοῦ τε*

καὶ ξυμφωνίαν τῷ καλῷ λόγῳ ἄγουσα; Πολὺ γὰρ ἄν,
ἔφη, κάλλιστα[c] οὕτω τραφεῖεν. Ἆρ' οὖν, ἦν δ' ἐγώ, ὦ
Γλαύκων, τούτων ἕνεκα[d] κυριωτάτη ἐν μουσικῇ τροφή,[e] ὅτι[f]
μάλιστα καταδύεται εἰς τὸ ἐντὸς τῆς ψυχῆς ὅ τε[g] ῥυθμὸς
καὶ ἁρμονία καὶ ἐρρωμενέστατα ἅπτεται αὐτῆς φέροντα
τὴν[h] εὐσχημοσύνην,[i] καὶ ποιεῖ εὐσχήμονα, ἐάν τις[j] ὀρθῶς
τραφῇ, εἰ δὲ μή,[k] τοὐναντίον; καὶ ὅτι αὖ τῶν παραλειπο-
μένων καὶ μὴ καλῶς δημιουργηθέντων ἢ μὴ καλῶς φύντων
ὀξύτατ' ἂν αἰσθάνοιτο ὁ ἐκεῖ τραφεὶς ὡς ἔδει, καὶ ὀρθῶς δὴ
III. i. 137. δυσχεραίνων τὰ μὲν καλὰ ἐπαινοῖ,[l] καὶ χαίρων[m] καὶ[n] κα-
ταδεχόμενος εἰς τὴν ψυχὴν τρέφοιτ' ἂν ἀπ' αὐτῶν καὶ
II. 402. γίγνοιτο καλός τε κἀγαθός, τὰ δ' αἰσχρὰ ψέγοι τ' ἂν
ὀρθῶς καὶ μισοῖ ἔτι νέος ὤν, πρὶν[o] λόγον[p] δυνατὸς[q] εἶναι
λαβεῖν, ἐλθόντος δὲ τοῦ λόγου ἀσπάζοιτ' ἂν αὐτὸν γνωρί-
ζων δι' οἰκειότητα μάλιστα ὁ[r] οὕτω τραφείς; Ἐμοὶ γοῦν[s]
δοκεῖ, ἔφη, τῶν τοιούτων ἕνεκα ἐν μουσικῇ εἶναι ἡ[t] τροφή.[u]
Ὡς περ ἄρα, ἦν δ' ἐγώ, γραμμάτων πέρι τότε ἱκανῶς εἴ-
χομεν, ὅτε τὰ στοιχεῖα μὴ λανθάνοι[v] ἡμᾶς ὀλίγα ὄντα
ἐν ἅπασιν οἷς ἐστὶ περιφερόμενα, καὶ οὔτ' ἐν σμικρῷ οὔτ'
ἐν μεγάλῳ ἠτιμάζομεν αὐτά, ὡς οὐ δέοι αἰσθάνεσθαι,[w] ἀλ-
λὰ πανταχοῦ προὐθυμούμεθα[x] διαγιγνώσκειν, ὡς οὐ πρό-
τερον ἐσόμενοι γραμματικοὶ πρὶν οὕτως ἔχοιμεν. Ἀληθῆ.
Οὐκοῦν καὶ[y] εἰκόνας γραμμάτων, εἴ[z] που[a] ἢ ἐν ὕδασιν ἢ ἐν
κατόπτροις ἐμφαίνοιντο,[b] οὐ πρότερον γνωσόμεθα, πρὶν ἂν
αὐτὰ γνῶμεν, ἀλλ' ἔστι τῆς αὐτῆς τέχνης τε καὶ μελέτης;

[c] κάλλιστον K.—[d] ἕνεκα ἐν tm.—[e] τροφῇ m.—[f] τοῦ ὅτι t.—[g] ὅτι pr Θ, ὅ,τι Π, ὅτι τε Φ.—[h] φέρει τε τὴν q.—[i] ἀσχημοσύνην K.—[j] τι pr Θ.—[k] μὴ om Φ.—[l] ἐπαινεῖ ΞΦtmr.—[m] καὶ χαίρων om q.—[n] καὶ post χαίρων om t.—[o] πρὶν καὶ Ξvs.—[p] λόγου ΠΦr et pr Θ.—[q] δυνατὸν K.—[r] ὁ om t.—[s] οὖν ΘΦr, om Ξ.—[t] ἡ om ΘΠΦDKqr.—[u] τροφὴν ΘΦr.—[v] λανθάνοι ΑΘΠDqvmr, λανθάνῃ K, λανθάνει Φ, λανθάνειν t: λανθάνῃ (οι) s.—[w] αἰσθαίνεσθαι Ξ.—[x] προθυμούμεθα ΘΠΦDKvr, προὐθέμεθα Ξtm.—[y] καὶ εἰ ΑΠDKm.—[z] ἤ K.—[a] περ Φ.—[b] ἐμφαίνοιτο Kv.—[c] ἔφαμεν DKqv et corr Π.—

καὶ εὐσχήμονος φύσις) λανθάνῃ—ἄγουσα. Ast.

φέρει τε τὴν εὐσχημοσύνην] Ita e cod. Regio rescripsimus pro φέροντα τὴν εὐσχημοσύνην; nam φέροντα per se haud commodum est: accedit, quod hæc cum sequentibus, non cum ἐρρωμενέστατα ἅπτεται αὐτῆς conjungi sensus jubet. De sententia, vide supra notata. Ast.

ἐπαινοίη] Ald. Bas. 1. et 2. ἐπαινεῖ; in sequentibus Bas. 2. ψέγοιτ'. Ast.

λανθάνοι] Ald. Bas. 1. et 2. et Steph. λανθάνῃ; sic et cod. Reg. superscripto οι, unde, linguæ legibus postulantibus, optativum restituimus. Mox Cod. Reg. ἐμφαίνοιτο, male. Ast.

Παντάπασι μὲν οὖν. Ἆρ᾽ οὖν ὃ λέγω, πρὸς θεῶν, οὕτως
οὐδὲ μουσικοὶ πρότερον ἐσόμεθα, οὔτε αὐτοὶ οὔτε οὓς φαμὲν[c]
ἡμῖν παιδευτέον εἶναι, τοὺς φύλακας, πρὶν ἂν τὰ τῆς σω-
φροσύνης εἴδη καὶ ἀνδρίας[d] καὶ ἐλευθεριότητος καὶ μεγαλο-
πρεπείας καὶ ὅσα τούτων ἀδελφὰ καὶ τὰ τούτων αὖ ἐναντία
πανταχοῦ περιφερόμενα γνωρίζωμεν καὶ ἐνόντα ἐν οἷς ἔνε- III. i. 138.
στιν[e] αἰσθανώμεθα, καὶ αὐτὰ καὶ εἰκόνας[f] αὐτῶν, καὶ μήτε
ἐν σμικροῖς μήτε ἐν μεγάλοις ἀτιμάζωμεν, ἀλλὰ τῆς αὐ-
τῆς οἰώμεθα[g] τέχνης εἶναι καὶ μελέτης; Πολλὴ ἀνάγκη,
ἔφη. Οὐκοῦν, ἦν δ᾽ ἐγώ, ὅτου[h] ἂν ξυμπίπτῃ[i] ἔν τε τῇ ψυ-
χῇ καλὰ ἤθη ἐνόντα καὶ ἐν τῷ εἴδει ὁμολογοῦντα ἐκείνοις
καὶ ξυμφωνοῦντα, τοῦ αὐτοῦ μετέχοντα τύπου, τοῦτ᾽ ἂν
εἴη κάλλιστον θέαμα τῷ δυναμένῳ θεᾶσθαι;[j] Πολύ γε.
Καὶ μὴν τό γε κάλλιστον ἐρασμιώτατον. Πῶς δ᾽ οὔ;
Τῶν δὴ ὅτι[k] μάλιστα τοιούτων ἀνθρώπων ὅ γε μουσικὸς
ἐρῴη ἄν· εἰ δὲ ἀξύμφωνος εἴη, οὐκ ἂν ἐρῴη. Οὐκ ἄν,[l] εἴ
γέ τι,[m] ἔφη, κατὰ τὴν ψυχὴν ἐλλείποι·[n] εἰ μέντοι τι[o] κα-
τὰ τὸ[p] σῶμα, ὑπομείνειεν[q] ἂν ὥστ᾽ ἐθέλειν ἀσπάζεσθαι.
Μανθάνω, ἦν δ᾽ ἐγώ, ὅτι ἔστι σοι ἢ γέγονε παιδικὰ τοιαῦ-
τα· καὶ συγχωρῶ.[r] ἀλλὰ τόδε μοι εἰπέ· σωφροσύνῃ καὶ
ἡδονῇ ὑπερβαλλούσῃ ἔστι τις κοινωνία; Καὶ πῶς, ἔφη, ἥ[s]
Γλαύκων, καὶ οἱ καθιστάντες μουσικῇ[y] καὶ γυμναστικῇ παιδεύειν οὐχ οὗ ἕνεκά τινες οἴονται καθιστᾶσιν, ἵνα τῇ μὲν τὸ σῶμα θεραπεύοιντο, τῇ δὲ τὴν ψυχήν; Ἀλλὰ[z] τί μήν; ἔφη. Κινδυνεύουσιν, ἦν δ' ἐγώ, ἀμφότερα τῆς ψυχῆς ἕνεκα τὸ[a] μέγιστον καθιστάναι. Πῶς δή; Οὐκ ἐννοεῖς, εἶπον, ὡς διατίθενται αὐτὴν τὴν διάνοιαν οἳ ἂν γυμναστικῇ μὲν διὰ βίου ὁμιλήσωσι, μουσικῆς δὲ μὴ ἅψωνται; ἢ[b] ὅσοι ἂν[c] τοὐναντίον διατεθῶσιν;[d] Τίνος δέ, ἦ δ' ὅς, πέρι λέγεις; Ἀγριότητός τε καὶ σκληρότητος,[e] ἦν δ' ἐγώ,[f] καὶ αὖ[g] μαλακίας τε καὶ ἡμερότητος. Ἔγωγε,[h] ἔφη, ὅτι οἱ μὲν γυμναστικῇ ἀκράτῳ χρησάμενοι ἀγριώτεροι τοῦ δέοντος ἀποβαίνουσιν, οἱ δὲ μουσικῇ μαλακώτεροι αὖ γίγνονται ἢ ὡς κάλλιον αὐτοῖς. Καὶ μήν,[i] ἦν δ' ἐγώ, τό γε[j] ἄγριον τὸ θυμοειδὲς ἂν τῆς φύσεως παρέχοιτο, καὶ ὀρθῶς μὲν τραφὲν ἀνδρεῖον ἂν εἴη, μᾶλλον δ' ἐπιταθὲν[k] τοῦ δέοντος σκληρόν[l]

Kqr et corr Π, αὐτά γε Ξς.—[v] μὲν K.—[w] πόρνους t.—[x] ἆρ' q.—[y] μουσικὴν καὶ γυμναστικὴν ΘΦr et corr Ξ.—[z] ἀλλὰ om t.—[a] κατὰ τὸ v.—[b] ἢ αὖ r.—[c] ὅσοι ἂν om q: ὅσοι...σκληρότητος καὶ om ΘΠΦDKr.—[d] διατεθῶσι...λέγεις om q.—[e] δυσκολίας τε καὶ ἀγριότητος (omissis τε καὶ σκληρότητος) q.—[f] ἦν δ' ἐγώ om q, post ἡμερότητος ponunt *ς.—[g] ἢ αὖ q.—[h] ἔγωγ' v.—[i] μὲν ς.—[j] τε Φlv.—[k] ἐπιταχθὲν tm.—

κατὰ ταυτὰ ἴχνη—διώκων] *Eadem via et ratione* (int. simplice illa et ad virtutem ducente) *quærens* s. appetens—*eum assequetur* (αἱρήσει), *ita ut corpus ipsius sanum gymnasticisque corroboratum exercitationibus medica arte haud indigeat*. Ast.

αὐτά γε μὴν] Citat hæc Galen. in libro laudato p. 297. v. 34. t. iv. Ast.

κἀκεῖνο ἐγείρων] Galen. *κἀκεῖν' ἐπεγείρων*. Ast.

οὐδ'—μεταχειριεῖται] Ficinus vertit: *neque, quemadmodum athletæ alii, roboris gratia victum instituet laboresque adhibebit*; quocirca *οὐκ*, quod libri editi omnes habent, in *οὐδ'* mutavimus. Galen. legit *μεταχειρίζονται*. Mox Ἆρ' *οὖν* et *θεραπεύωνται* correximus. Ast.

ἢ ὡς κάλλιον] Laudat hæc Priscianus xviii. p. 1185. addens: *ἀντὶ τοῦ· ἢ ὡς προσήκει*. Comparativus comparativum more sequitur, ut in cap. præcedente *σοφώτερος ἢ ἀμαθέστερος*. Vid. Hermann. ad Viger. p. 716. et Heind. ad Theæt. §. 5. Ast.

σκληρότερόν τε καὶ χαλεπὸν] Cod. Reg. *σκληρόν τε καὶ χαλ.* assentiente Ficino, ut qui verterit: *sin autem supra*,

τε καὶ χαλεπὸν γίγνοιτ᾽ ἄν, ὡς τὸ εἰκός. Δοκεῖ μοι, ἔφη.
Τί δέ; τὸ ἥμερον οὐχ ἡ[m] φιλόσοφος ἂν ἔχοι φύσις; καὶ
μᾶλλον μὲν ἀνεθέντος αὐτοῦ[n] μαλακώτερον ἂν[o] εἴη τοῦ
δέοντος, καλῶς δὲ τραφέντος ἥμερόν τε καὶ κόσμιον; Ἔστι
ταῦτα. Δεῖν δέ γέ φαμεν τοὺς φύλακας[p] ἀμφότερα ἔχειν
τούτω[q] τὼ[r] φύση.[s] Δεῖ γάρ. Οὐκοῦν ἡρμόσθαι δεῖ αὐ-
III. i. 153. τὰς πρὸς ἀλλήλας;[t] Πῶς δ᾽ οὔ; Καὶ τοῦ μὲν[u] ἡρμοσμέ-
II. 411. νου σώφρων τε καὶ ἀνδρεία ἡ ψυχή. Πάνυ γε. Τοῦ δὲ
ἀναρμόστου δειλὴ καὶ ἄγροικος. Καὶ[v] μάλα.[w] [§. 18.]
Οὐκοῦν ὅταν μέν τις μουσικῇ παρέχῃ καταυλεῖν καὶ κα-
ταχεῖν[x] τῆς ψυχῆς διὰ τῶν ὤτων, ὥς περ διὰ χώνης, ἃς
νῦν δὴ[y] ἡμεῖς ἐλέγομεν τὰς γλυκείας τε καὶ μαλακὰς καὶ
θρηνώδεις[z] ἁρμονίας, καὶ μινυρίζων τε καὶ γεγανωμένος[a]
ὑπὸ τῆς ᾠδῆς διατελῇ τὸν βίον ὅλον, οὗτος τὸ μὲν[b] πρῶτον,
εἴ τι θυμοειδὲς εἶχεν, ὥς περ σίδηρον ἐμάλαξε καὶ χρήσι-

[l] σκληρότερόν Ξtms.—[m] οὐχὶ Ξtm.—[n] αὐτῷ t.—[o] ἂν om Atm et pr Ξ.—[p] φύλακάς φαμεν (omisso τοὺς) Φ.—[q] τούτων ἔχειν K.—[r] ταῦτα τῇ ΘΦr, τούτων τῶν v: τὼ om DK.—[s] φύση A, φύσει ΘΠΦDKtmr, φύσεων v: φύσεε *s.—[t] αὐτὼ πρὸς ἀλλήλω α q, αὐτοὺς πρὸς ἀλλήλους Φ, αὐτὰς πρὸς ἀλλήλους r.—[u] μὲν om ΘΦr.—[v] Καὶ om v.—[w] μάλιστα t.—[x] κατηχεῖν ΘΦr.—[y] νῦν δὴ ΑΞΠtrm: δὴ νῦν *s.—[z] καὶ ante θρηνώδεις om pr Ξ.—[a] γεγαννωμένος Ξ.—[b] μὲν τὸ t.—[c] ἀνῇ ΘΦDKr et corr Π: ἀνίῃ

quam decet, excrescit, ferox, ut consentaneum est, ac dura. Restituendum haud dubie Platoni σκληρόν. De sententia, cf. Galen. hortat. ad liter. stud. t. i. p. 5. Bas. Ast.

δεῖν δέ γ᾽ ἔφαμεν] Ita scribentes Ficinum secuti sumus, utpote qui vertit: *dicebamus autem, oportere istos custodes utrasque naturas habere.* Ast.

οὔκουν ἡρμόσθαι] Respexit h. l. Clemens Alex. Strom. iv. 4. p. 481. (t. i. p. 571. Potter.) Ast.

§. 18. καταυλεῖν] *Ut canendo demulceat et obtundat animum ipsique per aures, tanquam per infundibulum, dulces illos ac molles modos infundat.* Καταυλεῖν est *canendo implere* s. obtundere, notione demulcendi adjuncta, ut de Legib. vii. p. 790. E. καὶ ἀτεχνῶς οἷον καταυλοῦσι τῶν παιδίων—ταύτῃ τῇ τῆς κινήσεως ἅμα χορείᾳ καὶ μούσῃ χρώμενοι. Sine causa igitur Heusdius Spec. Crit. p. 127. corrigi volebat καταντλεῖν, quod idem esset ac sequens καταχεῖν, vitiosam, ut videtur, non animadvertens interpunctionem (distinguendum enim post ἐλέγομεν), quum accusativi τὰς γλυκείας—ἁρμονίας e verbo καταχεῖν pendeant. Ad παρέχῃ intellige ἑαυτὸν, v. Heusd. Spec. Crit. p. 91. et Heind. ad Gorg. §. 25. Ceterum verba hæc imitando expressit Themist. Orat. xxii. p. 265. B. οἱ δὲ ᾄδουσι καὶ προσᾳδουσι, γλυκεῖάν τε καὶ μαλακὴν καταχέοντες ὑμῶν ἁρμονίαν. Ast.

μινυρίζων] Schol. Ruhnk. θρηνῶν ἢ ἠρέμα ᾄδων. Cf. Schol. ad Aristoph. Thesm. 106. Suidas t. ii. p. 564. Ast.

γεγανωμένος] Γανοῦσθαι s. γάννυσθαι dicitur, qui voluptate afficitur, v. Schol. Ruhnk. ad Phædr. p. 56. Mox Ald. Bas. 1. et 2. διατελεῖ. Ast.

ὥσπερ σίδηρον ἐμάλαξε] Soph. Aj. 650. Κἀγὼ γὰρ, ὃς τὰ δεῖν᾽ ἐκαρτέρουν τότε, Βαφῇ σίδηρος ὥς, ἐθηλύνθην στόμα. Cf. ejusd. Antig. 470. Similiter Themist. Orat. i. p. 7. C. μάλιστα ἄγαμαι τῶν λοιπῶν, ὅτι πᾶν τὸ θυμοειδὲς τῆς ψυχῆς, ὥσπερ σίδηρον, ἐμάλαξε καὶ χρήσιμον ἀντὶ ἀχρήστων ἐποίησε, μᾶλλον δ᾽ ὠφέλιμον ἀντὶ βλαβεροῦ. Stob. Serm. i. p. 21. καὶ οὕτως σοι αὐτὰ (τὰ παθήματα) παιδαγω-

μον ἐξ ἀγρήστου καὶ σκληροῦ ἐποίησεν· ὅταν δ' ἐπέχων μὴ
ἀνῇ[c] ἀλλὰ κηλῇ, τὸ μετὰ[d] τοῦτο ἤδη[e] τήκει καὶ λείβει,
ἕως ἂν ἐκτήξῃ τὸν θυμὸν καὶ ἐκτέμῃ ὥς περ νεῦρα ἐκ τῆς
ψυχῆς καὶ ποιήσῃ μαλθακὸν[f] αἰχμητήν. Πάνυ μὲν οὖν,
ἔφη. Καὶ ἐὰν μέν γε,[g] ἦν δ' ἐγώ, ἐξ ἀρχῆς φύσει ἄθυ-
μον[h] λάβῃ, ταχὺ τοῦτο διεπράξατο· ἐὰν δὲ θυμοειδῆ,
ἀσθενῆ ποιήσας τὸν θυμὸν ὀξύῤῥοπον ἀπειργάσατο, ἀπὸ
σμικρῶν ταχὺ ἐρεθιζόμενόν τε καὶ κατασβεννύμενον. ἀκρά-
χολοι[i] οὖν[j] καὶ ὀργίλοι ἀντὶ θυμοειδοῦς[k] γεγένηνται,[l] δυσ-
κολίας ἔμπλεῳ.[m] Κομιδῇ μὲν οὖν. Τί δέ;[n] ἂν αὖ γυμ-
ναστικῇ πολλὰ πονῇ καὶ εὐωχῆται εὖ μάλα, μουσικῆς δὲ
καὶ φιλοσοφίας μὴ ἅπτηται, οὐ πρῶτον μὲν εὖ ἴσχων τὸ III. i. 154.
σῶμα φρονήματός τε καὶ θυμοῦ ἐμπίπλαται καὶ ἀνδρειό-
τερος γίγνεται αὐτὸς αὑτοῦ; Καὶ μάλα γε.[o] Τί δαί;
ἐπειδὰν ἄλλο μηδὲν πράττῃ μηδὲ κοινωνῇ Μούσης[p] μηδα-
μῇ,[q] οὐκ εἴ τι καὶ ἐνῆν αὐτοῦ[r] φιλομαθὲς ἐν τῇ ψυχῇ, ἅτε
οὔτε μαθήματος γευόμενον[s] οὐδενὸς[t] οὔτε ζητήματος,[u] οὔτε
λόγου μετίσχον[v] οὔτε τῆς ἄλλης μουσικῆς, ἀσθενές τε καὶ

*ς.—[d] τὸ δὴ μετὰ r.—[e] ἤδη om Φr, post τήκει ponit r.—[f] μαλακὸν q.—[g] τε tm.—[h] φύσει ἄθυμον ΑΘΠtrm, ἄθυμον φύσει Φr: φύσιν ἄθυμον *ς.—[i] ἀκράχολοι Π, ἀκροάχολοι Θ: ἀκρόχολοι *ς.—[j] τε r.—[k] θυμοειδῶν Ξlrς.—[l] γεγένηται pr ΑΠ.—[m] ἔμπλεοι (ω superscript) ΑΘΠDKqlm, ἔμπλεοι Ξ.—[n] δ' r.—[o] δέ ΘΦDKqtrr.—[p] μούσῃ ΠDKq.—[q] μηδαμοῦ ΘΦDr, μηδαμῶς K.—[r] αὐτῷ Kl.—[s] γευομένου ΘΠrr et corr Ξ, γενομένου Alm et pr Ξ.—[t] μηδενὸς Ξ.—[u] οὔτε ζητήματος q, οὐδὲ ζητήματος Ξ: οὐ ζητήματος *ς.—[v] μετέχον Φ, μετέσχον r.—[w] κοῦφον r.—[x] καὶ τυφλὸν ante κωφὸν ponit r.—

γοῦντι ἀναφανήσεται χρήσιμά τε καὶ ὠφέλιμα ἀντὶ ἀχρήστων καὶ βλαβερῶν. Ast.

μαλθακὸν] Cod. Reg. μαλακὸν, male; sumta enim sunt verba ex Il. xvii. 588. quam etiam in Symposio c. 2. respexit, ubi v. not. p. 200. adde Heynii not. ad Il. ii. 408. Ceterum adverte aoristos præteriti ἐμάλαξε — ἐποίησε — διεπράξατο et perfectum γεγένηνται, quæ quidem tempora, quum id, quod futurum est, jam actum quasi esse significent, actionis celeritatem exprimunt. Monuimus de hac re jam alio loco. Ast.

ἀνδρειότερος—αὐτὸς αὑτοῦ] I. e. ἢ οἷος ἦν, ut Lach. 184. B. ἐπιφανέστερος γένοιτο ἢ οἷος ἦν. Sic iv. 2. p. 421. E. ἀμελὴς γενήσεται μᾶλλον αὐτὸς αὑτοῦ. Protagor. 350. A. οἱ ἐπιστήμονες τῶν μὴ ἐπισταμένων θαρσαλεώτεροί εἰσι καὶ αὐτοὶ ἑαυτῶν, ἐπειδὰν μάθωσιν, ἢ πρὶν μαθεῖν. Lach. 182. C. Nihil enim frequentius est hac locutione. Vid. Boissonad. ad Philostrat. p. 325. Similiter superlativus usurpatur, vid. Wesseling. ad Herodot. p. 91. Fischer. ad Weller. t. ii. p. 148. Ast.

μούσης] Sic libri omnes et Ficinus; haud dubie vero legendum est μουσικῆς; primum enim præcedens γυμναστικῇ in oratione huic opposita efflagitat μουσικῆς, deinde dubito, an μοῦσα sic absolute poni possit. Μουσικὴν omnia complecti constat, quæ ad animi culturam pertinent, vid. nostra ad Phædr. p. 274.—Paulo ante Cod. Reg. Τί δέ; pro τί δαί; Aptius mihi videtur Τί δὲ h. l. ubi sententia præcedenti opposita exponitur. Mox pro εἴ τι Bas. 1. et 2. ἔτι, et ante ζητήματος Ald. Bas. 1. 2. et Steph. οὐ pro οὔτε, quod e cod. Reg. recepimus. Ast.

κωφὸν[w] καὶ τυφλὸν[x] γίγνεται, ἅτε οὐκ ἐγειρόμενον οὐδὲ τρεφόμενον[y] οὐδὲ διακαθαιρομένων[z] τῶν αἰσθήσεων αὐτοῦ; Οὕτως, ἔφη.[a] Μισολόγος δή,[b] οἶμαι, ὁ τοιοῦτος γίγνεται καὶ ἄμουσος, καὶ πειθοῖ μὲν διὰ λόγων οὐδὲν ἔτι χρῆται, βίᾳ δὲ καὶ ἀγριότητι ὥς περ θηρίον πρὸς πάντα[c] διαπράττεται,[d] καὶ ἐν ἀμαθίᾳ[e] καὶ σκαιότητι μετὰ ἀῤῥυθμίας τε καὶ ἀχαριστίας ζῇ. Παντάπασιν, ἦ δ' ὅς, οὕτως ἔχει. Ἐπὶ[f] δὴ δύ'[g] ὄντε τούτω, ὡς ἔοικε, δύο τέχνα θεὸν ἔγωγ' ἄν τινα φαίην δεδωκέναι τοῖς ἀνθρώποις, μουσικήν τε καὶ[h] γυμναστικὴν ἐπὶ τὸ[i] θυμοειδὲς καὶ τὸ φιλόσοφον, οὐκ ἐπὶ ψυχὴν καὶ σῶμα, εἰ μὴ εἴη[j] πάρεργον, ἀλλ' ἐπ' ἐκείνω,[k] ὅπως ἂν
II. 412. ἀλλήλοιν ξυναρμοσθῆτον ἐπιτεινομένω καὶ ἀνιεμένω μέχρι τοῦ προσήκοντος. Καὶ γὰρ ἔοικεν, ἔφη. Τὸν κάλλιστ'
III. i. 155. ἄρα μουσικῇ γυμναστικὴν κεραννύντα καὶ μετριώτατα[l] τῇ ψυχῇ προσφέροντα, τοῦτον ὀρθότατ' ἂν[m] φαῖμεν εἶναι τελέως μουσικώτατον καὶ εὐαρμοστότατον, πολὺ μᾶλλον ἢ τὸν[n] τὰς χορδὰς ἀλλήλαις ξυνιστάντα. Εἰκότως γ', ἔφη, ὦ Σώκρατες. Οὐκοῦν καὶ ἐν τῇ πόλει ἡμῖν, ὦ Γλαύκων, δεήσει τοιούτου[o] τινὸς ἀεὶ ἐπιστάτου,[p] εἰ μέλλει[q] ἡ πολιτεία σώζεσθαι; Δεήσει μέντοι ὡς οἷόν τέ γε μάλιστα.

Οἱ μὲν δὴ τύποι τῆς παιδείας τε καὶ τροφῆς οὗτοι ἂν εἶεν. χορείας γὰρ τί ἄν τις διεξίοι τῶν τοιούτων, καὶ θήρας τε καὶ[r] κυνηγέσια καὶ γυμνικοὺς ἀγῶνας καὶ ἱππικούς; σχεδὸν γάρ τι[s] δῆλα δὴ ὅτι τούτοις[t] ἑπόμενα δεῖ αὐτὰ εἶναι, καὶ οὐκέτι χαλεπὰ εὑρεῖν. Ἴσως, ἦ δ' ὅς, οὐ χαλεπά. [§. 19.] Εἶεν, ἦν δ' ἐγώ· τὸ δὴ μετὰ τοῦτο τί

ων ων
[y] ἐγειρόμένον οὐδὲ τρεφόμένον Ξ, ἐγειρομένων οὐδὲ τρεφομένων qς.—[z] διακαθαιρόμενον ΘΠΦDKr.—[a] ἔχει Ξς.—[b] δέ DK.—[c] ἅπαντα q.—[d] διαταράττει v.—[e] ἀρυθμίας m.—[f] ἐπεὶ ΑΞΠΦKtmr et pr ΘD.—[g] δύ' ΘΠΦDKrmr, δύω Φ, δ' t.—[h] τε καὶ Θr.—[i] τὸ om ΘΦr.—[j] ἦ corr A, εἰ Π, εἶ t, ἦ Ξ: non liquet de m.—[k] ἐκείνῳ ΑΘΞΠΦ trmr et rc q: ἐκεῖνο *ς.—[l] μετριότητα DK.—[m] ἂν om y.—[n] τὸν om Θ.—[o] τοῦ τοιούτου ΑΘΠΦrmr, τοιούτων t.—[p] ἐπιστάτου ἀεί Φ.—[q] μέλλοι Φ.—[r] καὶ ante γυμνικοὺς om v.—[s] τοι Φr.—[t] τοιούτοις ΘΠΦDr.—[u] εἶναι K, ἔτι t.—[v] οὐκοῦν ὅτι Ξtv

οὕτως ἔχει] Cod. Reg. *οὕτως, ἔφη.* Ficinus: *sic plane.* Ast.

διαπράττεται] Mendi manifestum est hoc verbum; nam cum *πρὸς πάντα* conjungi nequit, et præcedenti *θηρίον* omnium minime convenit. Ni fallor, scribendum est διαπέτεται (ab Attico διαπέτομαι, vulg. *διάπταμαι*): in omnia *involat.* Similiter Ficinus vertit: *tanquam fera quædam ad omnia fertur.* E διαπέτεται per compendium scripto quam facile διαπράττεται enasci potuerit, quilibet per se intelligit. Ast.

ἂν ἡμῖν διαιρετέον εἴη;[u] ἆρ' οὐκ αὐτῶν τούτων οἵ τινες ἄρ-
ξουσί τε καὶ ἄρξονται; Τί μήν; Ὅτι[v] μὲν πρεσβυτέρους
τοὺς ἄρχοντας[w] δεῖ εἶναι, νεωτέρους δὲ τοὺς ἀρχομένους,
δῆλον;[x] Δῆλον. Καὶ ὅτι γε τοὺς ἀρίστους αὐτῶν; Καὶ
τοῦτο. Οἱ δὲ γεωργῶν ἄριστοι ἆρ' οὐ γεωργικώτατοι γίγ-
νονται; Ναί. Νῦν δ' ἐπειδὴ φυλάκων αὐτοὺς ἀρίστους
δεῖ[y] εἶναι,[z] ἆρ' οὐ φυλακικωτάτους[a] πόλεως;[b] Ναί. Οὐκ-
οῦν φρονίμους τε εἰς τοῦτο δεῖ[c] ὑπάρχειν καὶ δυνατοὺς καὶ III. i. 156.
ἔτι κηδεμόνας τῆς πόλεως; Ἔστι ταῦτα. Κήδοιτο δέ γ'
ἄν τις[d] μάλιστα τούτου[e] ὃ τυγχάνοι[f] φιλῶν. Ἀνάγκη.
Καὶ μὴν τοῦτό γ' ἂν μάλιστα φιλοῖ, ᾧ ξυμφέρειν ἡγοῖτο
τὰ αὐτὰ καὶ ἑαυτῷ,[g] καὶ[h] ὅταν μάλιστα ἐκείνου μὲν εὖ
πράττοντος οἴηται[i] ξυμβαίνειν καὶ ἑαυτῷ εὖ πράττειν, μὴ
δὲ[j] τοὐναντίον. Οὕτως, ἔφη. Ἐκλεκτέον ἄρ' ἐκ τῶν ἄλ-
λων φυλάκων τοιούτους ἄνδρας, οἳ ἂν σκοποῦσιν ἡμῖν μά-
λιστα φαίνωνται παρὰ πάντα τὸν βίον, ὃ μὲν ἂν τῇ πόλει
ἡγήσωνται ξυμφέρειν, πάσῃ προθυμίᾳ ποιεῖν, ὃ δ' ἂν[k] μή,
μηδενὶ τρόπῳ πρᾶξαι ἂν ἐθέλειν. Ἐπιτήδειοι γάρ, ἔφη.
Δοκεῖ δή μοι τηρητέον αὐτοὺς εἶναι ἐν ἁπάσαις ταῖς ἡλι-
κίαις, εἰ φυλακικοί εἰσι τούτου τοῦ δόγματος καὶ μήτε
γοητευόμενοι μήτε βιαζόμενοι ἐκβάλλουσιν ἐπιλανθανόμε-
νοι δόξαν τὴν τοῦ ποιεῖν δεῖν ἃ τῇ πόλει βέλτιστα. Τίνα,
ἔφη, λέγεις τὴν ἐκβολήν; Ἐγώ σοι, ἔφην,[l] ἐρῶ. φαίνεταί
μοι δόξα ἐξιέναι ἐκ διανοίας ἢ ἑκουσίως[m] ἢ ἀκουσίως, ἑκου-
σίως μὲν ἡ ψευδὴς τοῦ μεταμανθάνοντος, ἀκουσίως δὲ πᾶσα[n] II. 413.
ἡ ἀληθής. Τὸ μὲν τῆς ἑκουσίου, ἔφη, μανθάνω, τὸ δὲ τῆς
ἀκουσίου δέομαι μαθεῖν. Τί δέ;[o] οὐ καὶ σὺ ἡγεῖ,[p] ἔφην
ἐγώ, τῶν μὲν ἀγαθῶν ἀκουσίως στέρεσθαι[q] τοὺς ἀνθρώπους,

ms.—[w] ἄρξοντας Ξlm.—[x] δῆλον om rt.—[y] ἀρίστους δεῖ αὐτοὺς q.—[z] εἶναι δεῖ Ξlr.—[a] φυλακωτάτους DK.—[b] προσήκει εἶναι πόλεως Ξs.—[c] δὴ Θ.—[d] τι ΠΦDKlrmr, om t.—[e] τούτου...μάλιστα om t.—[f] τυγχάνει ΦDKqr.—[g] αὐτῷ t.—[h] καὶ...ἑαυτῷ om r.—[i] οἴοιτο ΑΞm, οἷοι τὸ t, οἷόν τε ΘΦDKr, οἷον τὸ Π.—[j] μὴ δὲ ΑΘΞΠDKqlm, μὴ εἰ δὲ μὴ δὲ r: εἰ δὲ μή s.—[k] δὲ t.—[l] ἔφη Ξ.—[m] ἢ ἑκουσίως om r.—[n] πᾶσα om Θr, post ἀληθὴς ponit t.—[o] δαί Am.—[p] ἡγεῖ D.—[q] στερεῖσθαι v.—[r] ἢ om s.—[s] οὐ

§. 19. φυλακικωτάτους] Cod. Reg. φυλακωτάτους, vitiose, et Bas. 2. γίνωνται. Ast.

οἳ ἂν σκοποῦσιν] Ald. Bas. 1. et 2. σκοπῶσιν—φαίνονται, utrumque vitiose. Ast.

τί δέ; οὐ καὶ] Laudat Stob. xli. p. 274. ubi more scribitur τί δαί; Ast.

III. i. 157. τῶν δὲ κακῶν ἑκουσίως; ἢ[r] οὐ τὸ μὲν ἐψεῦσθαι τῆς ἀληθείας κακόν, τὸ δὲ ἀληθεύειν ἀγαθόν; ἢ οὐ τὸ[s] τὰ ὄντα δοξάζειν ἀληθεύειν δοκεῖ σοι εἶναι; Ἀλλ', ἦ δ' ὅς, ὀρθῶς λέγεις, καί μοι δοκοῦσιν ἄκοντες ἀληθοῦς δόξης στερίσκεσθαι. Οὐκοῦν κλαπέντες ἢ γοητευθέντες ἢ βιασθέντες τοῦτο πάσχουσιν; Οὐδὲ[t] νῦν, ἔφη, μανθάνω. Τραγικῶς, ἦν[u] δ' ἐγώ, κινδυνεύω λέγειν. κλαπέντας μὲν γὰρ τοὺς μεταπεισθέντας λέγω καὶ τοὺς ἐπιλανθανομένους, ὅτι τῶν μὲν χρόνος, τῶν δὲ λόγος ἐξαιρούμενος λανθάνει.[v] νῦν γάρ που μανθάνεις; Ναί. Τοὺς τοίνυν βιασθέντας λέγω οὓς ἂν ὀδύνη τις[w] ἢ ἀλγηδὼν μεταδοξάσαι[x] ποιήσῃ. Καὶ τοῦτ', ἔφη, ἔμαθον, καὶ ὀρθῶς λέγεις. Τούς γε[y] μὴν[z] γοητευθέντας, ὡς ἐγῷμαι,[a] κἂν σὺ φαίης εἶναι οἳ ἂν μεταδοξάσωσιν[b] ἢ ὑφ' ἡδονῆς κηληθέντες ἢ ὑπὸ φόβου τι δείσαντες. Ἔοικε γάρ, ἦ δ' ὅς, γοητεύειν πάντα ὅσα ἀπατᾷ. [§. 20.] Ὃ τοίνυν ἄρτι ἔλεγον, ζητητέον τίνες ἄριστοι φύλακες τοῦ παρ' αὑτοῖς[c] δόγματος, τοῦτο ὡς ποιητέον[d] ὃ ἂν τῇ πόλει

τοῦ K.—[t] οὐδὲν ms.—[u] γὰρ ἦν v.—[v] λανθάνει om q.—[w] τε K.—[x] μεταδόξαι K.—[y] γε om ΘΠΦDKqtvmr.—[z] μὲν qv.—[a] ὡς ἐγῷμαι om t.—[b] μεταδόξωσιν K.—[c] αὐτοῖς q.—[d] τοῦτο ὡς ποιητέον ΑΘΠDKtvmr, τοῦ ὡς ποιητέον q, ὡς τοῦτο ποιητέον ΞΦ:

οὐ τὸ—ἀληθεύειν] Verba hæc cancellis inclusimus, quia sententiarum nexum turbant et omnino huc non pertinent; etenim non de eo quæritur, quid sit ἀληθεύειν, sed bonum probatur non sponte nostra amitti; quo circa respondetur: καί μοι δοκοῦσιν ἄκοντες ἀληθοῦς δόξης στερίσκεσθαι. Margini forsitan adscripta extabat nota ad v. ἀληθεύειν: τὸ τὰ ὄντα δοξάζειν, quam alius pro genuina Platonis explicatione habens orationi intulit et οὐ interposito (Stob. exhibet ἢ οὐ) ceteris annexit. Nihil profecto desideratur omissis οὐ—ἀληθεύειν, imo oratio fit perspicua et sincera. Ast.

τραγικῶς] Stob. τραγικῶς ἄρα. Τραγικῶς λέγειν est *verbis uti magnificentioribus* s. rem verbis ampliorem reddere, more tragicorum, qui, sublimitatem sectantes, ampullas amant et sesquipedalia verba. Sic Men. p. 76. E. τραγικὴ γάρ ἐστιν, ὦ Μένων, ἡ ἀπόκρισις. Cratyl. 414. C. τραγῳδεῖν αὐτὰ (τὰ ὀνόματα). Vid. Budæi Comment. gr. ling. p. 440. et Erasmi Adag. Chil. ii. Centur. v. 39. p. 411. Ast.

ἐξαιρούμενος] Ald. et Bas. 1. ἐξαιρουμένους, vitiose. Sensus est: *his tempus, illis vero ratio clam eximit veram opinionem.* Ast.

οὓς ἂν] Stob. οὓς ἐάν. Mox γὲ post τοὺς a cod. Reg. et Stob. abest. Ast.

§. 20. τοῦ παρ'] In præced. edit. scriptum est, τοῦ παρ' αὑτοῖς δόγματος, τοῦτο ὃ ἂν τῇ πόλει etc. qua in lectione manifestum est aliquid deesse ante τοῦτο: quum igitur ex vet. annotatum esset, ποιητέον τοῦτο, id vocabulum inserui. Postea autem et aliam lectionem afferri comperi (sed cujus idem sit sensus) τοῦτο ποιεῖν δεῖν ὃ ἂν τῇ πόλει etc. Steph.

τοῦτο ὡς ποιητέον] Sic Cod. Reg. et Bas. 2. Ficinus assentitur vertens: *id videlicet semper agendum esse.* Τοῦτο enim cum vi præpositum est, et ὡς ποιητέον (ἐστὶ) optime sequitur præcedens δόγματος, quod certam et decretam sententiam s. persuasionem significat. Sed mira est h. l. scripturæ varietas. Ald. et Bas. 1. omissis ὡς ποιητέον legunt τοῦτο, Stob. τοῦ ὡς ποιητέον, Steph. scripsit ποιητέον τοῦτο, denique Cornarius conjecit: τοῦτο ποιεῖν δεῖν. Mox cod. Reg. et Stob. addunt αὐτοῖς ποιεῖν. Ast.

ἀεὶ δοκῶσι[e] βέλτιστον εἶναι.[f] τηρητέον δὴ[g] εὐθὺς ἐκ παί-
δων προθεμένοις ἔργα ἐν οἷς ἄν τις[h] τὸ τοιοῦτον[i] μάλιστα
ἐπιλανθάνοιτο καὶ ἐξαπατῷτο,[j] καὶ τὸν μὲν μνήμονα καὶ
δυσεξαπάτητον ἐγκριτέον,[k] τὸν δὲ μὴ ἀποκριτέον. ἦ γάρ; III. i. 158.
Ναί. Καὶ πόνους[l] γε αὖ καὶ ἀλγηδόνας καὶ ἀγῶνας αὐ-
τοῖς θετέον, ἐν οἷς ταὐτὰ ταῦτα τηρητέον. Ὀρθῶς, ἔφη.
Οὐκοῦν, ἦν δ' ἐγώ, καὶ τρίτου εἴδους τούτοις[m] γοητείας
ἅμιλλαν ποιητέον, καὶ θεατέον, ὥς περ τοὺς πώλους[n] ἐπὶ
τοὺς ψόφους τε καὶ θορύβους ἄγοντες σκοποῦσιν εἰ[o] φοβε-
ροί, οὕτω νέους ὄντας εἰς δείματ' ἄττα[p] κομιστέον καὶ εἰς
ἡδονὰς αὖ μεταβλητέον, βασανίζοντας πολὺ μᾶλλον ἢ
χρυσὸν ἐν πυρί, εἰ δυσγοήτευτος καὶ[q] εὐσχήμων ἐν πᾶσι[r]
φαίνεται, φύλαξ αὑτοῦ ὢν[s] ἀγαθὸς καὶ μουσικῆς[t] ἧς ἐμάν-
θανεν, εὔρυθμόν τε καὶ εὐάρμοστον ἑαυτὸν ἐν πᾶσι τούτοις
παρέχων, οἷος δὴ ἂν ὢν[u] καὶ ἑαυτῷ καὶ πόλει χρησιμώτα-
τος εἴη.[v] καὶ τὸν ἀεὶ ἔν[w] τε παισὶ καὶ νεανίσκοις καὶ ἐν ἀν-
δράσι βασανιζόμενον καὶ ἀκήρατον ἐκβαίνοντα καταστα- II. 414.
τέον ἄρχοντα τῆς πόλεως καὶ φύλακα, καὶ τιμὰς δοτέον
καὶ ζῶντι καὶ τελευτήσαντι, τάφων τε καὶ τῶν ἄλλων μνη-

ποιητέον τοῦτο ς.—[e] πόλει ἀεὶ δοκῶσι A*tv*m, πόλει ἃ δοκῶσι ΠDK : πόλει δοκῶσι *ς. —[f] εἶναι αὐτοὺς ποιεῖν ΠK*r*m, εἶναι ὥστε καὶ ποιεῖν *q*.—[g] δὲ *r*.—[h] τις add AΠDK*qtv*m. —[i] τὸ τοιοῦτον AΘΠΦDK*qtv*mr : τοῦ τοιούτου ς.—[j] ἐπιλανθάνοιντο καὶ ἐξαπατῷντο ς.
οις
—[k] ἐγκριτέον om *q*.—[l] πόνων... ἀλγηδόνων ἀγῶνας ς.—[m] τούτοις A*qr*, τούτους Θ, τούτους ΠΦDKr : τοῦ τῆς ς.—[n] πολλοὺς *t*.—[o] οἱ *t*.—[p] τε K.—[q] καὶ om ΠK*q*r et pr D.—[r] ἅπασι *v*, πάσῃ *t*.—[s] ὡς Θ.—[t] καὶ τῆς μουσικῆς *v*.—[u] ὢν om ΘΦr.—[v] ἂν εἴη*v*.—[w] ἐὰν Π.—[x] δῶρα DK*q*.—[y] λαμβάνοντα Φr.—[z] ἡ...φυλάκων om *t*.—[a] καὶ

ἐν οἷς ἄν τις] In Ald. Bas. 1. 2. et Steph. deest τὶς, quod e cod. Reg. et Stob. recepimus, addicente Ficino, qui vertit: *ex quibus aliquis maxime præceptum illud oblivisci fallique possit.* Ast.

καὶ πόνων—ἀγῶνας] Sic Ald. Bas. 1. Cod. vero Reg. et Bas. 2. exhibent *καὶ πόνους γε καὶ ἀλγηδόνας καὶ ἀγῶνας*, Ficino confirmante, qui vertit: *ergo labores et dolores illis et certamina opponenda.* Sed sequentia *τῆς γοητείας ἅμιλλαν ποιητέον*, ut et prægressa *προθεμένους ἔργα* (dicitur enim *ἀγὼν προτίθεσθαι*, ut Phædon. p. 90. B. *εἰ πονηρίας ἀγὼν προτεθείη*) efflagitant *ἀγῶνας πόνων καὶ ἀλγηδόνων.* Ast.

σκοποῦσιν] Stob. *σκοποῦμεν*, quod placet, etsi haud necessarium est; vide quæ supra de tertiæ personæ usu exposuimus. Ceterum equorum periculum, an meticulosi essent necne, veteres faciebant *τοῦ κώδωνος ψοφῷ*, tintinnabuli sonitu, v. Schol. ad Aristoph. Ran. 78. et Suid. v. *κωδωνίσαι*. Ast.

δείματ' ἄττα] Stob. *δείματα*. Ficinus: *in terribilia quædam impellendi.* Ast.

βασανίζοντας] Accusativus pro dativo nomen verbale *μεταβλητέον* sequitur, ex more Atticorum, v. Ernest. ad Xenoph. Mem. iii. 9. 1. Hermann. ad Viger. p. 752. Heind. ad Phædr. p. 335. et Schäfer. Melet. Crit. p. 89. Ast.

μείων μέγιστα γέρα[x] λαγχάνοντα·[y] τὸν δὲ μὴ τοιοῦτον ἀποκριτέον. τοιαύτη τις, ἦν δ' ἐγώ, δοκεῖ μοι, ὦ Γλαύκων, ἥ[z] ἐκλογὴ εἶναι καὶ κατάστασις τῶν ἀρχόντων τε καὶ φυλάκων, ὡς ἐν τύπῳ, μὴ[a] δι' ἀκριβείας, εἰρῆσθαι. Καὶ
III. i. 159. ἐμοί, ἦ δ' ὅς, οὕτω πῃ[b] φαίνεται. Ἆρ' οὖν ὡς ἀληθῶς ὀρθότατον[c] καλεῖν τούτους μὲν φύλακας παντελεῖς τῶν τε[d] ἔξωθεν πολεμίων τῶν τε ἐντὸς φιλίων,[e] ὅπως οἱ μὲν μὴ βουλήσονται,[f] οἱ δὲ μὴ δυνήσονται κακουργεῖν, τοὺς δὲ νέους, οὓς νῦν[g] δὴ φύλακας ἐκαλοῦμεν, ἐπικούρους τε καὶ βοηθοὺς τοῖς τῶν ἀρχόντων[h] δόγμασιν; Ἔμοιγε δοκεῖ, ἔφη.

Τίς ἂν οὖν ἡμῖν,[i] ἦν δ' ἐγώ, μηχανὴ γένοιτο τῶν ψευδῶν τῶν ἐν δέοντι γιγνομένων, ὧν νῦν δὴ[j] ἐλέγομεν, γενναῖόν τι εἶναι[k] ψευδομένους πεῖσαι μάλιστα μὲν καὶ αὐτοὺς τοὺς ἄρχοντας, εἰ δὲ μή, τὴν ἄλλην πόλιν; Ποῖόν τι; ἔφη. Μηδὲν καινόν, ἦν δ' ἐγώ, ἀλλὰ Φοινικικόν τι, πρότερον μὲν[l] ἤδη πολλαχοῦ γεγονός, ὥς φασιν οἱ ποιηταὶ καὶ πεπείκασιν, ἐφ' ἡμῶν δὲ οὐ γεγονὸς οὐδ'[m] οἶδα εἰ γενόμενον ἄν, πεῖσαι δὲ[n] συχνῆς πειθοῦς. Ὡς ἔοικας, ἔφη, ὀκνοῦντι[o] λέγειν. Δόξω δέ[p] σοι, ἦν δ' ἐγώ, καὶ μάλα[q] εἰκότως ὀκνεῖν, ἐπειδὰν

μὴ K.—[b] που *q*.—[c] ὀρθότατα K.—[d] τ' *v*.—[e] φίλων pr Ξ cum ς.—[f] βουλήσωνται... δυνήσωνται DK*q*.—[g] νῦν om Φ𝔯, post δὴ ponunt 𝔯ς.—[h] ἀνθρώπων Φ𝔯.—[i] ἡμῖν add ΑΠDK*qtv*𝔪.—[j] νῦν δὴ K*v*: δὴ νῦν *ς.—[k] ἓν ΑΞ*tv*𝔪 et pr Π.—[l] μὲν om pr Ξ.—[m] οὐκ *t*𝔪.—[n] δὲ δεῖ *t*.—[o] ὀκνοῦντι 𝔯, ὤκνουντι (ὥ supra) ΘΠ.—[p] γέ *v*.—[q] μάλ' *tv*𝔪.—[r] καὶ

λαγχάνοντα] De hoc accusativo vid. supra ad c. 5. Ast.

ὡς ἐν τύπῳ] τύπος, *forma* s. formula, generalis est rei adumbratio, quam accurata et exacta sequitur descriptio atque expositio. Hinc ὡς ἐν τύπῳ εἰπεῖν est *summatim dicere* s. exponere, et opponitur ei τὸ σαφῶς (Phileb. 61. A.) vel ἀκριβῶς (Aristot. ad Nicom. ii. 2.) λέγειν. Vid. Toup. ad Longin. xii. §. 2. De variis vocis τύπος significationibus cf. Gataker. Adversar. c. 4. Ast.

βουλήσονται] Ald. βουλήσωνται, soloece. Ast.

τίς ἂν οὖν—μηχανὴ] Sensum patet hunc esse: 'quomodo principibus vel reliquæ civitati id persuadere poterimus, quod, etiamsi a nobis fictum est, tamen, ut in uniuscujusque animo inhæreat, e republica erit?' Sic c. 21. τοῦτον οὖν τὸν μῦθον, ὅπως ἂν πεισθεῖεν, ἔχεις τινὰ μηχανήν. Igitur construendum est: τίς ἂν οὖν μηχανὴ γένοιτο, πεῖσαι (ἡμᾶς) γενναῖόν τι τῶν ψευδῶν τῶν ἐν δέοντι γιγνομένων ψευδομένους, μάλιστα μὲν καὶ αὐτοὺς τ. ἄρχοντας cet. Jam quid verbo εἶναι faciamus, non liquet; ni fallor, ab iis interpositum est, qui sententiæ nexum non perspexerant, adeo ut ad πεῖσαι prædicatum, quod dicitur, desiderarent et verba ita caperent, ut Ficinus ea vertit: *quis itaque modus erit, quo ex his mendaciis — generosum quiddam esse mentiendo persuadeamus.* Quocirca εἶναι expungendum duco. Ast.

καινὸν] Ald. et Bas. 1. καλόν. Ast.

Φοινικικόν τι] Schol. Ruhnk. τὸ ψεῦδος Φοινικικόν φησιν ἀπὸ τῶν κατὰ τὸν δράκοντα καὶ τοὺς σπαρτοὺς καὶ Κάδμον ψευδῆ λεγομένων· οὗτος γὰρ Ἀγήνορος, τοῦ Ποσειδῶνος καὶ Λιβύης, ἦν, ἧς ἡ Φοινίκη χώρα. Vid. ad c. 22. v. γηγενεῖς. Ast.

εἴπω. Λέγ᾽, ἔφη, καὶ μὴ φοβοῦ. Λέγω δή· καί τοι[r] οὐκ
οἶδα ὁποίᾳ[s] τόλμῃ ἢ[t] ποίοις λόγοις[u] χρώμενος ἐρῶ, καὶ
ἐπιχειρήσω πρῶτον μὲν αὐτοὺς τοὺς ἄρχοντας πείθειν καὶ
τοὺς στρατιώτας, ἔπειτα δὲ καὶ τὴν ἄλλην πόλιν, ὡς[v] ἄρ᾽
ἃ[w] ἡμεῖς αὐτοὺς[x] ἐτρέφομέν τε καὶ ἐπαιδεύομεν, ὥς περ[y]
ὀνείρατα ἐδόκουν ταῦτα πάντα πάσχειν τε[z] καὶ γίγνεσθαι III. i. 160.
περὶ αὐτούς, ἦσαν δὲ τότε τῇ ἀληθείᾳ ὑπὸ γῆς ἐντὸς πλατ-
τόμενοι καὶ[a] τρεφόμενοι καὶ αὐτοὶ καὶ τὰ ὅπλα αὐτῶν καὶ
ἡ ἄλλη σκευὴ δημιουργούμενα,[b] ἐπειδὴ δὲ παντελῶς ἐξειρ-
γασμένοι ἦσαν, καὶ ἡ γῆ αὐτοὺς μήτηρ οὖσα[c] ἀνῆκε, καὶ
νῦν δεῖ[d] ὡς περὶ μητρὸς καὶ τροφοῦ τῆς χώρας ἐν ᾗ εἰσὶ
βουλεύεσθαί τε καὶ ἀμύνειν αὐτούς, ἐάν τις ἐπ᾽ αὐτὴν ἴῃ,[e]
καὶ ὑπὲρ τῶν ἄλλων πολιτῶν ὡς ἀδελφῶν ὄντων καὶ γηγε-
νῶν διανοεῖσθαι. Οὐκ ἐτός,[f] ἔφη, πάλαι ᾐσχύνου τὸ ψεῦ-
δος λέγειν. Πάνυ, ἦν δ᾽ ἐγώ, εἰκότως· ἀλλ᾽ ὅμως ἄκουε II. 415.
καὶ τὸ λοιπὸν τοῦ μύθου. [§. 21.] Ἐστὲ[g] μὲν γὰρ δὴ[h]
πάντες οἱ ἐν τῇ πόλει ἀδελφοί, ὡς φήσομεν πρὸς αὐτοὺς
μυθολογοῦντες, ἀλλ᾽ ὁ θεὸς πλάττων,[i] ὅσοι μὲν ὑμῶν ἱκα-
νοὶ ἄρχειν, χρυσὸν ἐν τῇ γενέσει συνέμιξεν[j] αὐτοῖς, διὸ τι-
μιώτατοί εἰσιν· ὅσοι δ᾽[k] ἐπίκουροι, ἄργυρον·[l] σίδηρον δὲ[m]
καὶ χαλκὸν[n] τοῖς τε[o] γεωργοῖς καὶ τοῖς ἄλλοις δημιουρ-

τὸ t.—[s] ποία ΘΦrr.—[t] καὶ r.—[u] λογίοις Φ.—[v] ὡς ὅτε K.—[w] ἃ om ΦDK.—[x] αὐτοὺς ἄγε om r.—[y] ὥσπερ D.—[z] τε om Θ.—[a] πλαττόμενοί τε καὶ DKqtv.—[b] δημιουργουμένη Aqtrm, δημιουργουμένου Π, δημιουργούμενοι K.—[c] οὖσ᾽ v.—[d] δεῖ qrs: ceteri δή.—[e] εἴη v.—[f] ἐτῶς A, εἰκότως K.—[g] ἔστι K.—[h] δὴ om pr Ξ.—[i] ὁ πλάττων v.—[j] ξ. v.—[k] δ᾽ om t et pr Ξ.—[l] ἀργύριον t.—[m] δ᾽ om Θ.—[n] χαλκοῦν m.—[o] τε om ΘΦir.—

δημιουργούμενα] Respicit ὅπλα, quorum species quasi est ἡ ἄλλη σκευή. Ast.

ἡ γῆ] Vulgo καὶ ἡ γῆ. Particulam καὶ sensum nexumque orationis turbare, perspicuum est; quapropter eam delevimus. Ast.

ὅμως ἀκούετε] Euseb. Præp. Evang. xii. 13. p. 613. C. οὐκοῦν ἀκούετε. Ast.

§. 21. *ἐστὲ μὲν γὰρ*] Laudarunt h. l. Clemens Alex. Strom. v. p. 595. D. p. 706. t. ii. ed. Potter. ubi v. not. et Euseb. l. l. apud Euseb. legitur ἐσμὲν γὰρ δή, apud Clement. δὴ desideratur et πάντως pro πάντες scriptum est. Mox ὡς, i. e. οὕτως, scripsimus pro ὡς. Deinde ante ὁ θεὸς Euseb. inserit ὥς φασιν, et pro ὑμῶν c. Bas. 2. legit ἡμῶν. Ast.

χρυσὸν ἐν τῇ γενέσει] Cavillatur hoc Aristoteles Polit. ii. 3. (ii. 2. §. 15. ed. Schneid.): ὅτι δ᾽ ἀναγκαῖον αὐτῷ ποιεῖν τοὺς αὐτοὺς ἄρχοντας, φανερόν· οὐ γὰρ ὁτὲ μὲν ἄλλοις, ὁτὲ δὲ ἄλλοις μέμικται ταῖς ψυχαῖς ὁ παρὰ τοῦ θεοῦ χρυσός, ἀλλ᾽ ἀεὶ ταῖς ψυχαῖς· φησὶ δέ, τοῖς μὲν εὐθὺς γινομένοις μῖξαι χρυσόν, τοῖς δὲ ἄργυρον, χαλκὸν δὲ καὶ σίδηρον τοῖς τεχνίταις μέλλουσιν ἔσεσθαι καὶ γεωργοῖς. Ceterum nota est ætatum divisio in auream, argenteam, æream et ferream (v. Hesiod. Op. et Dies v. 9.) quam Plato secutus est in classium politicarum distinctione. Ast.

τοῖς τε γεωργοῖς] In Clement. et Euseb. deest τέ. Mox Euseb. ἡμῖν—γεννῶμεν. Ast.

γοῖς. ἅτε οὖν ξυγγενεῖς ὄντες πάντες τὸ μὲν πολὺ ὁμοίους[p] ἂν ὑμῖν αὐτοῖς γεννῷτε,[q] ἔστι δ' ὅτε[r] ἐκ χρυσοῦ γεννηθείη ἂν ἀργυροῦν[s] καὶ ἐξ ἀργυροῦ χρυσοῦν ἔκγονον καὶ τἆλλα πάντα[t] οὕτως ἐξ ἀλλήλων. τοῖς οὖν ἄρχουσι καὶ πρῶτον καὶ μάλιστα παραγγέλλει ὁ θεὸς ὅπως μηδενὸς οὕτω φύ-
III. i. 161. λακες ἀγαθοὶ ἔσονται μηδ' οὕτω σφόδρα φυλάξουσι[u] μηδὲν ὡς τοὺς ἐκγόνους, ὅ τι αὐτοῖς τούτων ἐν ταῖς ψυχαῖς παραμέμικται, καὶ ἐάν[v] τε σφέτερος ἔκγονος ὑπόχαλκος ἢ ὑποσίδηρος γένηται, μηδενὶ τρόπῳ κατελεήσουσιν,[w] ἀλλὰ τὴν τῇ φύσει προσήκουσαν τιμὴν ἀποδόντες ὤσουσιν εἰς[x] δημιουργοὺς ἢ εἰς[y] γεωργούς, καὶ ἂν[z] αὖ ἐκ τούτων τις ὑπόχρυσος ἢ ὑπάργυρος φυῇ, τιμήσαντες ἀνάξουσι[a] τοὺς μὲν εἰς φυλακήν, τοὺς δὲ εἰς ἐπικουρίαν, ὡς χρησμοῦ ὄντος τότε τὴν πόλιν διαφθαρῆναι, ὅταν[b] αὐτὴν ὁ σίδηρος[c] ἢ ὁ χαλκὸς[d] φυλάξῃ.[e] τοῦτον οὖν τὸν μῦθον ὅπως ἂν πεισθεῖεν, ἔχεις τινὰ μηχανήν; Οὐδαμῶς, ἔφη, ὅπως γ' ἂν αὐτοὶ οὗτοι· ὅπως μέντ' ἂν οἱ τούτων υἱεῖς καὶ οἱ ἔπειτα οἵ τ' ἄλλοι ἄνθρωποι οἱ ὕστερον.[f] Ἀλλὰ καὶ τοῦτο, ἦν δ' ἐγώ, εὖ ἂν ἔχοι πρὸς τὸ μᾶλλον αὐτοὺς τῆς πόλεώς τε καὶ ἀλλήλων κήδεσθαι· σχεδὸν γάρ τι[g] μανθάνω ὃ λέγεις. καὶ τοῦτο μὲν δὴ ἕξει ὅπῃ ἂν αὐτὸ ἡ φήμη ἀγάγῃ·[h] ἡμεῖς

ν ε
[p] ὁμοίως ΦDr.—[q] γεννῷτο ΦDr et corr Π, γεννῶτο Θ, γεννῶτοται v, γενῶνται t.—[r] ὅτε καὶ q.—[s] ἀργυροῦ ΑΞtm et corr ΘΦ.—[t] πάντας m.—[u] φυλάξωσι ΘΦvr.—[v] ἄν v.—[w] καταλοήσουσιν t, καταλεήσουσιν m.—[x] ἤσουσιν ἢ εἰς v.—[y] εἰς om K.—[z] ἐὰν ΘΦvr.—[a] ἀνέξουσι m.—[b] ὥστε, γρ ὅταν, K.—[c] σιδηροῦς ΑΞ, σιδηροῦς φύλαξ tvm.
η
—[d] χαλκοῦς ΑΘΞΠtvm.—[e] φυλάξει K, φύλαξ ἢ ΞΠD.—[f] ὕστεροι Θ.—[g] τοι K.—

ἐκ χρυσοῦ] Ficinus, vertens *ex aureo*, χρυσοῦ pro adjectivo videtur habuisse, indeque cl. Böckhius Spec. edit. Tim. Plat. p. xxiii. pro ἀργύρου corrigi volebat ἀργυροῦ; sed adjectivo hic nullus locus est; nihil aliud intelligi posset nisi ἔκγονον, quod tamen ex auro et argento demum oriri ponitur. Aurum et argentum, in imperantibus et custodibus repræsentatum, pro his ipsis ponitur; quocirca infra quoque legimus: ὅταν αὐτὴν ὁ σίδηρος ἢ ὁ χαλκὸς φυλάξῃ. Etiam Ficinus vertit: et *ex argento similiter aureus*, quod Grynæus in *argenteo* mutavit; ipsum illud *aureo* in genuina Ficini versione ex errore mihi videtur typographico profectum esse. Ceterum Euseb. legit ἔγγονον, ut infra quoque ἐγγόνους pro ἐκγόνους. Ast.

ἔσονται] Euseb. γένωνται. Mox φυλάξωσι et κατελεήσωσιν, solœce. Deinde ἐὰν sine τὲ et ἀποδιδόντες—ὡς οὖσιν pro ὤσουσιν—ἢ ὡς δημιουργοὺς ἢ γεωργοὺς (sic et Cod. Reg.)—ἢ φυῇ τις—χρησίμου pro χρησμοῦ—ὁ σιδηροῦς φύλαξ ἢ ὁ χαλκοῦς διαφυλάξῃ. Ast.

σχεδὸν γάρ τι] Cod. Reg. σχεδὸν γάρ τοι. Τί referendum ad σχεδόν. Ast.

ἕξει] Ni fallor, ἥξει pro ἕξει legendum est, quod sequens ἀγάγῃ jam videtur postulare: hoc quidem eo *veniet*, quo oraculum ducet. Similiter Ficinus ver-

δὲ τούτους τοὺς γηγενεῖς ὁπλίσαντες προάγωμεν ἡγουμένων
τῶν ἀρχόντων. ἐλθόντες δὲ θεασάσθων τῆς πόλεως ὅπου
κάλλιστον[j] στρατοπεδεύσασθαι, ὅθεν τούς τε[k] ἔνδον μάλιστ'
ἂν κατέχοιεν, εἴ τις μὴ ἐθέλοι[l] τοῖς νόμοις πείθεσθαι, τούς
τε[m] ἔξωθεν ἀπαμύνοιεν,[n] εἰ πολέμιος ὥς περ λύκος ἐπὶ
ποίμνην τις ἴοι. στρατοπεδευσάμενοι δέ, θύσαντες οἷς χρή, III. i. 162.
εὐνὰς ποιησάσθων. ἢ πῶς; Οὕτως, ἔφη. Οὐκοῦν τοιαύτας
οἵας χειμῶνός τε στέγειν[o] καὶ θέρους ἱκανὰς εἶναι; Πῶς
γὰρ οὐχί; οἰκήσεις γάρ, ἔφη, δοκεῖς[p] μοι λέγειν. Ναί,
ἦν[q] δ' ἐγώ, στρατιωτικάς γε,[r] ἀλλ' οὐ χρηματιστικάς.
Πῶς, ἔφη, αὖ τοῦτο[s] λέγεις διαφέρειν ἐκείνου; Ἐγώ σοι, II. 416.
ἦν δ' ἐγώ, πειράσομαι εἰπεῖν. [§. 22.] Δεινότατον γάρ
που πάντων καὶ αἴσχιστον[t] ποιμέσι τοιούτους γε[u] καὶ οὕτω
τρέφειν κύνας ἐπικούρους ποιμνίων, ὥστε ὑπὸ ἀκολασίας ἢ
λιμοῦ[v] ἤ τινος ἄλλου κακοῦ ἔθους αὐτοὺς τοὺς κύνας ἐπι-
χειρῆσαι τοῖς προβάτοις κακουργεῖν καὶ ἀντὶ κυνῶν λύκοις
ὁμοιωθῆναι. Δεινόν, ἦ δ' ὅς· πῶς δ' οὔ; Οὐκοῦν φυλακ-
τέον παντὶ τρόπῳ μὴ τοιοῦτον ἡμῖν οἱ ἐπίκουροι ποιήσωσι
πρὸς τοὺς πολίτας, ἐπειδὴ[w] αὐτῶν κρείττους εἰσίν· ἀντὶ[x]
ξυμμάχων εὐμενῶν δεσπόταις ἀγρίοις ἀφομοιωθῶσιν.[y] Φυ-
λακτέον, ἔφη. Οὐκοῦν τὴν[z] μεγίστην τῆς εὐλαβείας παρ-

[h] ἀγάγοι ΘΦr.—[i] τοὺς om ς.—[j] κάλλιον t.—[k] τ' v.—[l] ἐθέλοι ΑΘΠDKqtv: ἐθέλει ς.—[m] τ' v.—[n] ἀπαμύνειν m et corr Ξ.—[o] στέγην m.—[p] δοκεῖ Π.—[q] νῦν ΘΠΦDr et γρ K.—[r] δὲ v.—[s] αὖ τοῦτο ἔφη Θr, οὖν τοῦτο ἔφη Φ, αὖ ἐστὶ τοῦτο t.—[t] αἰσχιστόν που Atm, αἰσχιόν που ΠDKr, αἴσχιον ΘΠ.—[u] τε v.—[v] λοιμοῦ Θ.—[w] ἐπειδὰν Ξς.—[x] εἰσίν ἀντὶ ΑΞΠΦtmr: εἰσὶ καὶ ἀντὶ *ς.—[y] ἐξομοιωθῶσιν Φ.—[z] τὴν μὲν v.—[a] παρα-

tit: *et hoc quidem illuc tendet, quo oraculum perducet.* Ast.

φήμη] Est *oraculum*, v. Wesseling. ad Diodor. xiv. 56. p. 686. t. i. et Wyttenbach. Animadv. in Julian. in Bibl. Crit. t. iii. p. i. p. 65. Mox articulum τοὺς ante γηγενεῖς e cod. Reg. recepimus, legibus linguæ eum postulantibus. Ceterum bene Censorinus de die natal. c. 4. 'Denique etiam vulgo creditum est, ut plerique genealogiæ auctores sunt, quarundam gentium, quæ ex adventicia stirpe non sint, principes terrigenas esse, ut in Attica et Arcadia Thessaliaque, eosque αὐτόχθονας vocitari;' ubi vid. Lindenbrog. p. 22. Inprimis antiquitas Athenienses celebrabat αὐτόχθονας, ut Menexen. p. 27. ubi v. Gottleb. Isocrat. Panegyr. p. 14. ed. Mor. et Panathen. p. 258. ed. Corai. Ast.

§. 22. τοιοῦτον] Videri posset deesse particula τὶ post τοιοῦτον, ut scriberetur τοιοῦτόν τι; (præsertim quum Fic. etiam ita legerit, aut certe legendum putaverit: quippe qui verterit, *omnino itaque nobis cavendum ne quid tale adversus cives efficiant*) sed moneo lectorem, si locus hic suspectus eo nomine esse debeat, multos alios apud hunc extare scriptorem quos suspectos habere itidem oportebit. Steph.

τοιοῦτόν τι] Pronomen τὶ, quod vulgo abest, interposuimus. Deinde ἐπειδὴ pro ἐπειδὰν, quod et sensui et linguæ legibus repugnat, e cod. Reg. recepimus. Ast.

εσκευασμένοι[a] ἂν εἶεν,[b] εἰ τῷ ὄντι καλῶς πεπαιδευμένοι εἰσίν; Ἀλλὰ μὴν εἰσί γ',[c] ἔφη· Καὶ ἔγωγ'[d] εἶπον, Τοῦτο μὲν οὐκ ἄξιον διισχυρίζεσθαι, ὦ φίλε Γλαύκων· ὃ μέντοι[e] ἄρτι[f] ἐλέγομεν, ἄξιον, ὅτι δεῖ αὐτοὺς τῆς ὀρθῆς τυχεῖν[g]
III. i. 163. παιδείας, ἥτις ποτ' ἔστιν, εἰ[h] μέλλουσι τὸ μέγιστον ἔχειν πρὸς τὸ[i] ἥμεροι[j] εἶναι αὑτοῖς[k] τε καὶ τοῖς φυλαττομένοις ὑπ' αὐτῶν. Καὶ ὀρθῶς γε, ἦ δ' ὅς. Πρὸς τοίνυν τῇ παιδείᾳ ταύτῃ φαίη ἄν τις νοῦν ἔχων δεῖν[l] καὶ τὰς οἰκήσεις καὶ τὴν ἄλλην οὐσίαν τοιαύτην αὐτοῖς παρεσκευάσθαι,[m] ἥτις μήτε τοὺς φύλακας ὡς ἀρίστους εἶναι παύσει[n] αὐτοὺς[o] κακουργεῖν τε μὴ ἐπαρεῖ[p] περὶ τοὺς ἄλλους πολίτας. Καὶ ἀληθῶς γε φήσει. Ὅρα δή, εἶπον ἐγώ,[q] εἰ[r] τοιόνδε τινὰ τρόπον δεῖ αὐτοὺς ζῆν τε καὶ οἰκεῖν, εἰ μέλλουσι τοιοῦτοι ἔσεσθαι· πρῶτον μὲν[s] οὐσίαν κεκτημένον[t] μηδεμίαν μηδένα ἰδίαν,[u] ἂν μὴ πᾶσα ἀνάγκη· ἔπειτα οἴκησιν καὶ ταμιεῖον μηδενὶ εἶναι μηδὲν τοιοῦτον, εἰς ὃ οὐ πᾶς ὁ βουλόμενος εἴσ-

σκευασμένοι m.—[b] εἶεν ἂν q.—[c] γ' om t.—[d] ἐγὼ tv.—[e] μέντι r.—[f] ἄρτοι Ξ.—[g] τυχεῖν τῆς ὀρθῆς t.—[h] μὴ tm.—[i] τὸ ΑΠDKqtvm : τῷ *ς.—[j] ἡμέτεροι Φ.—[k] αὑτοῖς ΑΞq : αὐτοῖς *ς.—[l] δεῖν εἶναι DKq.—[m] παρασκευάσασθαι Am, παρασκευάσθαι Ξt.—[n] παύσει Φv, παύσῃ rς : ceteri παύσοι.—[o] αὐτοὺς om DKq.—[p] ἐπάροι Θv : ἐπάρῃ *ς.—[q] ἐγὼ
οὐ
...τρόπον om v.—[r] εἰ Θ, οὐ Φr.—[s] μὲν οὖν K.—[t] κεκτημένους Kq, κεκτημένοι t.—

εἶμεν] Sic emendavimus; vulgo *εἶεν*, quod sensu caret; *εἶμεν* Attica est optativi forma (v. Maittair. de dialect. p. 58. Fischer. ad Weller. t. ii. p. 601. et Heind. ad Theæt. §. 12.) pro *εἴημεν*; subjectum est *ἡμεῖς*, ut in prægressis: *οὔκουν φυλακτέον παντὶ τρόπῳ, μὴ τοιοῦτον ἡμῖν οἱ ἐπίκουροι ποιήσωσι*; denique *παρεσκευασμένοι* activam habet significationem, ut solet perfectum passivi, v. Jens. ad Lucian. Tyrannic. v. iv. p. 595. ed. Bip. Ast.

εἰ τῷ ὄντι] Deest *εἰ* in Ald. et Bas. 1. De verbis *μεγίστην τῆς εὐλαβείας* vid. ad i. 2. Ast.

πρὸς τῷ ἥμεροι εἶναι] Lectio hæc quomodo ferri possit non video: cur enim, *præterquam quod mites futuri sunt*, diceret? Legendum igitur arbitror, parum mutata scriptura, multum tamen mutato sensu, *εἰ μέλλουσι τὸ μέγιστον ἔχειν πρὸς τὸ ἥμεροι εἶναι αὑτοῖς τε καὶ τοῖς φυλαττομένοις ὑπ' αὐτῶν*. Intelligit enim (ut arbitror) 'Si futurum est ut habeant quod maxime confert ad reddendos ipsos mites et sibi invicem et iis quos custodiunt.' Steph.

πρὸς τὸ ἥμεροι εἶναι] Vulgo *πρὸς τῷ ἥμερ. εἶν.*, quod sensu cassum; *τὸ* jam Steph. reponendum esse monuerat. *Πρὸς* est, ut sexcenties ponitur, *quod attinet ad s. in.* Ast.

παύσοι] Sic Ald. Bas. 1. et 2. Male Steph. *παύσῃ* scripsit, haud dubie propter sequens *ἐπάρῃ*; imo contra *ἐπάρῃ* propter præcedens *παύσοι* in *ἐπαροῖ* vel Atticum *ἐπαροίη* (optativ. futuri) mutari debebat, quod nos fecimus. Sic etiam Ficinus videtur legisse vertens: *quisque sanæ mentis diceret—ne ipsos, quominus optimi viri essent, prohiberet, neque eos ad ceteros cives induceret.* Ceterum Bas. 1. margini ad *ἐπάρῃ* adscriptum habet *ἐπάγῃ*. Ast.

πρῶτον μὲν] Citat hæc Stob. xli. p. 274. ubi *οὐδὲ μίαν* exhibetur et *ἣν μή*; mox *φυλακικῆς*, ut Bas. 1. Ast.

ἂν μὴ πᾶσα ἀνάγκη] Schol. Ruhnk. p. 157. *εἰ μὴ τὴν ἀναγκαίαν, ἱμάτιόν φημι καὶ βρώματα εὐτελῆ.* Ast.

εισι· τὰ δ' ἐπιτήδεια, ὅσων δέονται[v] ἄνδρες ἀθληταὶ πολέμου[w] σώφρονές τε καὶ ἀνδρεῖοι, ταξαμένους παρὰ τῶν ἄλλων πολιτῶν δέχεσθαι μισθὸν τῆς φυλακῆς τοσοῦτον, ὅσον[x] μήτε περιεῖναι αὐτοῖς εἰς τὸν ἐνιαυτὸν μήτε ἐνδεῖν· φοιτῶντας δὲ ἐς[y] ξυσσίτια, ὥς περ ἐστρατοπεδευμένους,[z] κοινῇ ζῆν. χρυσίον δὲ καὶ ἀργύριον εἰπεῖν αὐτοῖς ὅτι θεῖον παρὰ θεῶν ἀεὶ ἐν τῇ ψυχῇ ἔχουσι καὶ οὐδὲν προσδέονται τοῦ ἀνθρωπείου, οὐδὲ ὅσια[a] τὴν ἐκείνου κτῆσιν τῇ τοῦ θνητοῦ χρυσοῦ κτήσει ξυμμιγνύντας μιαίνειν, διότι πολλὰ καὶ ἀνόσια περὶ[b] τὸ[c] τῶν πολλῶν νόμισμα γέγονε, τὸ παρ' ἐκείνοις II. 417. III. i. 164.
δὲ ἀκήρατον· ἀλλὰ μόνοις αὐτοῖς τῶν ἐν τῇ πόλει μεταχειρίζεσθαι καὶ ἅπτεσθαι χρυσοῦ[d] καὶ ἀργύρου[e] οὐ θέμις, οὐδ' ὑπὸ τὸν αὐτὸν[f] ὄροφον ἰέναι οὐδὲ περιάψασθαι[g] οὐδὲ πίνειν ἐξ ἀργύρου[h] ἢ χρυσοῦ. καὶ οὕτω μὲν[i] σώζοιντό τ'[j] ἂν[k] καὶ σώζοιεν τὴν πόλιν· ὁπότε[l] δ' αὐτοὶ γῆν τε ἰδίαν καὶ οἰκίας καὶ νομίσματα κτήσονται,[m] οἰκονόμοι μὲν[n] καὶ γεωργοὶ ἀντὶ φυλάκων ἔσονται, δεσπόται δ' ἐχθροὶ ἀντὶ ξυμμάχων[o]

[u] μηδένα ἰδίαν μηδεμίαν Φ: ἰδίαν om *t*.—[v] δέονται om *q*.—[w] πολέμου om 𝔯.—[x] ὃς Θ.—[y] ἐς Θ𝔯.—[z] ἐστρατοπεδευομένους 𝔯.—[a] ὅσιον ΞΦD*r*𝔯.—[b] παρὰ ϛ.—[c] τὸ add ΑΘΞΦ*tv*𝔯.—[d] χρυσίου ΘΦΚ*q*𝔯.—[e] καὶ ἀργυρίου ΘΠDΚ*q*𝔯, om Φ.—[f] αὐτῶν *v* et rc *q*.—[g] περιάψεσθαι *t*𝔪.—[h] ἀργυροῦ D.—[i] μέντ' ἂν Ξ.—[j] σώζοιντό τ' *q*: σώζοιντ' *ϛ.
αν ω
—[k] ἂν om Ξ.—[l] ὁπότε Κ.—[m] κτήσονται Κ.—[n] μὲν om *t* et pr Ξ.—[o] ξ. ΑΘΞΠΦΚ

ταξαμένους] *Jussos*, i. e. ex præscripto, significatione passiva; quam aoristus 1. medii sæpenumero habet, vid. Küster. de verb. med. p. 157. Abresch. et Locell. ad Xenoph. Ephes. i. 15. p. 173. Ast.

ξυσσίτια] *Convivia publica*, parco et frugali apparatu, apud Cretenses et Lacedæmonios ἄνδρια et φειδίτια s. φιδίτια dicta, vid. Aristotel. Polit. ii. 10. Plutarch. Lycurg. 12. Agesil. 20. Pausan. vii. 1. Athen. iv. 19. p. 141. A. et 143. A. Schol. Ruhnk. ad Platon. Crit. p. 210. et de Legib. i. p. 222. Meurs. Misc. Lacon. p. 43. Ceterum traduxit hæc, ut plura alia in Platonica civitate, Aristophanes in Ἐκκλησιαζ. 673. Cf. Morgenstern. Commentat. p. 74. et 307. Ast.

ἐστρατοπεδευμένους] Stob. ἐξεστρατοπεδευμένους. Ast.

παρὰ τῶν] Inter παρὰ et τῶν non dubito quin particula τὸ sit omissa: (de cujus et in aliis locis omissione dictum fuit) et legere oporteat, παρὰ τὸ τῶν πολλῶν νόμισμα. Steph.

περὶ τὸ τῶν] Sic Stob. Περὶ etiam cod. Reg. et τὸ inserendum esse jam Steph. viderat. Ast.

ὑπὸ τὸν αὐτὸν ὄροφον ἰέναι] *Idem tectum subire*, sc. cum auro, est: eam domum intrare, in qua aurum et argentum est. Vertit Ficinus: *aut sub tecto suo recipere*, ac si παριέναι (*admittere, inducere*) legisset. Ast.

περιάψασθαι] Est *induere vestes auro argentoque distinctas atque pictas*, ut p. 328. περιτίθημι et ἀμφιέννυμι. Ficinus vertit: *circumferre*. Præterea videtur legendum: οὐδ' ὑπὸ τὸν αὐτῶν ὄροφον ἰέναι pro αὐτὸν ὄροφον ἰέναι. Prius tamen potest defendi. Faehse.

σώζοιντό τ' ἂν] Sic e Stob. reposuimus; vulgo τε abest. Ast.

δεσπόται δ' ἐχθροὶ] Stob. δεσπόται δὲ καὶ ἐχθροὶ, quod placet. Mox δὴ in Stob. deest. Ast.

τῶν ἄλλων πολιτῶν γενήσονται, μισοῦντες δὲ δὴ καὶ μισούμενοι καὶ ἐπιβουλεύοντες καὶ ἐπιβουλευόμενοι διάξουσι πάντα τὸν βίον, πολὺ πλείω[p] καὶ μᾶλλον δεδιότες τοὺς ἔνδον ἢ τοὺς ἔξωθεν[q] πολεμίους. θέοντες ἤδη τότε ἐγγύτατα ὀλέθρου αὐτοί τε καὶ ἡ ἄλλη πόλις. τούτων οὖν πάντων ἕνεκα, ἦν δ' ἐγώ, φῶμεν οὕτω δεῖν κατεσκευάσθαι τοὺς[r] φύλακας οἰκήσεώς τε πέρι καὶ τῶν ἄλλων, καὶ ταῦτα νομοθετήσωμεν,[s] ἢ μή; Πάνυ γε, ἦ δ' ὃς ὁ Γλαύκων.

tvmr.—[p] πλεῖον K*qtv*.—[q] ἔξωθε *t*.—[r] τούς τε Ξ*qtmrς*.—[s] νομοθετήσωμεν ΑΘΠ*qtv* : νομοθετήσομεν **ς*.

πολὺ πλεῖον] Sic cod. Reg. et Stob. quanquam nunc fere pœnitet πλείω, quod sic adverbialiter sæpius legitur (ut apud Xenoph. Hier. i. 8. v. 6.) exterminasse. Etenim πλεῖον etiam interpretatio illius πλείω esse potest. Ast.

τοὺς φύλακας] Libri editi τε interpositum habent, quod cod. Reg. auctoritate delevimus. Ast.

Π Ο Λ Ι Τ Ε Ι Α,

Δ.

§. 1. Καὶ ὁ Ἀδείμαντος ὑπολαβὼν Τί οὖν, ἔφη, ὦ Σώ- Steph. II. 419.
κρατες, ἀπολογήσει,[a] ἐάν τίς σε φῇ μὴ πάνυ τι[b] εὐδαίμο- Bek.
νας ποιεῖν τούτους τοὺς ἄνδρας, καὶ ταῦτα δι᾽ ἑαυτούς, ὧν III. i. 165.
ἔστι[c] μὲν ἡ πόλις τῇ ἀληθείᾳ, οἱ δὲ μηδὲν ἀπολαύουσιν[d] ἀγαθὸν τῆς πόλεως, οἷον οἱ[e] ἄλλοι ἀγρούς τε[f] κεκτημένοι καὶ οἰκίας οἰκοδομούμενοι καλὰς καὶ μεγάλας, καὶ ταύ-

[a] ἀπολογήσει υ.—[b] πάνυ τοι ΘΦDKqr et corr Π, πάντη υ.—[c] ἔνεστι K.—[d] ἀπο-λαύσωσιν (οις supra) DKq.—[e] οἱ cum ς solus Ξ.—[f] τε om Φ.—[g] ἰδίως Φ, ἰδίας Ξ.—[h] λέγεις pr

καὶ ταῦτα δι᾽] Mihi venit in mentem aliquando suspicari scribendum esse, *καὶ ταῦτα δὴ, αὐτοῖς ὧν ἐστὶ μὲν* etc. Fic. quidem certe lectionem illam *δι᾽ ἑαυτοὺς* non agnoscit. quippe qui vertat, *Quid o Socrates afferes, inquit, siquis te dicat non multum hos viros beatos efficere? quum tamen ipsi sint quorum re vera est civitas.* Si tamen illam retinere oporteat, videndum an hæc verba, *εὐδαίμονας δι᾽ ἑαυτοὺς*, significare possint, *felices illis bonis quæ suo labore suaque industria comparare possunt*. Steph.

δι᾽ ἑαυτοὺς] Morgenstern. in Commentat. p. 215. not. 107. ex Buttmanni conjectura legi volebat *καὶ ταῦτα δὴ αὐτούς*; sed verba sanissima sunt. Sensus est, 'haud felices efficis viros, et quidem sua ipsorum culpa, ut qui, quum revera civitas in ipsorum potestate sit, hac sua possessione non fruantur.' Cf. v. 13. p. 466. A. Ast.

οἱ ἄλλοι] Articulum *οἱ* post *ἄλλοι* videtur Ficinus reperisse, quum vertat: *alii, qui et agros possident*; sed eo non opus est; participia enim *κεκτημένοι—οἰκοδομούμενοι* cet. non referenda sunt ad *οἱ ἄλλοι*, sed ad *ἀπολαύουσι μηδὲν ἀγαθόν*; ut sensus sit, 'nihil eorum percipiunt, quibus reliqui fruuntur, agrorum puta possessionem: domorum magnificarum exstructionem.' Ceterum Aristoteles Polit. ii. 3. (c. 2. §. 16. Schneid.): *ἔτι δὲ καὶ τὴν εὐδαιμονίαν ἀφαιρούμενος τῶν φυλάκων, ὅλην φησὶ δεῖν εὐδαίμονα ποιεῖν τὴν πόλιν τὸν νομοθέτην, ἀδύνατον δὲ εὐδαιμονεῖν ὅλην, μὴ τῶν πλείστων ἢ μὴ πάντων μερῶν ἢ τινῶν ἐχόντων τὴν εὐδαιμονίαν—ἀλλὰ μὴν εἰ οἱ φύλακες μὴ εὐδαίμονες, τίνες ἕτεροι: οὐ γὰρ δὴ οἵ γε τεχνῖται καὶ τὸ πλῆθος τὸ τῶν βαναύσων.* Sed vid. Morgenstern. Commentat. p. 166. not. 13. Ast.

ταις πρέπουσαν κατασκευὴν κτώμενοι, καὶ θυσίας θεοῖς ἰδίας[g] θύοντες, καὶ ξενοδοκοῦντες, καὶ δὴ καὶ ἃ νῦν δὴ σὺ ἔλεγες,[h] χρυσόν τε καὶ ἄργυρον κεκτημένοι καὶ πάντα ὅσα νομίζεται τοῖς μέλλουσι μακαρίοις εἶναι· ἀλλ' ἀτεχνῶς, φαίη ἄν, ὥς περ ἐπίκουροι μισθωτοὶ ἐν τῇ πόλει φαίνονται
II. 420. III. i. 166. καθῆσθαι[i] οὐδὲν ἄλλο[j] ἢ φρουροῦντες.[k] Ναί, ἦν δ' ἐγώ, καὶ ταῦτά γε[l] ἐπισίτιοι καὶ οὐδὲ μισθὸν πρὸς τοῖς σιτίοις λαμβάνοντες ὥς περ οἱ ἄλλοι,[m] ὥστε[n] οὐδ' ἂν ἀποδημῆσαι βούλωνται ἰδίᾳ, ἔξεσται αὐτοῖς, οὐδὲ ἑταίραις[o] διδόναι, οὐδ' ἀναλίσκειν ἄν ποι[p] βούλωνται ἄλλοσε, οἷα δὴ οἱ εὐδαίμονες δοκοῦντες εἶναι ἀναλίσκουσι. ταῦτα καὶ ἄλλα τοιαῦτα[q] συχνὰ τῆς κατηγορίας ἀπολείπεις. Ἀλλ', ἦ δ' ὅς, ἔστω καὶ ταῦτα κατηγορημένα.[r] Τί οὖν[s] δὴ[t] ἀπολογησόμεθα, φῄς; Ναί. Τὸν αὐτὸν οἶμον, ἦν δ' ἐγώ, πορευόμενοι εὑρήσομεν, ὡς ἐγῷμαι, ἃ λεκτέα. ἐροῦμεν γὰρ ὅτι θαυμαστὸν[u] μὲν ἂν οὐδὲν[v] εἴη, εἰ καὶ οὗτοι οὕτως εὐδαιμο-

t.—[i] κεκτῆσθαι cum ϛ mg Ξ: ipse om.—[j] ἀλλ' *v*.—[k] φρονοῦντες Ξ.—[l] γ' *v*.—[m] ὥσπερ οἱ ἄλλοι λαμβάνοντες *r*.—[n] ὥστ' *rr*.—[o] ἑταίραις ΑΠm et mg D, ἑταίροις *t*, ἑτέροις ΘΦDK*qrr* et corr Π: ἄλλοις *ϛ.—[p] ποι ΑΘΠDK*r*, που *q*: πῃ *ϛ.—[q] τοιαῦτα om DK*qt*.—[r] κεκατηγορημένα K.—[s] αὖ *t*.—[t] δὴ om *r*.—[u] θαυμαστὸν om *t*.—[v] ἂν

ἰδίας] Cod. Reg. ἰδίοις. Ficinus: *sacraque diis privata faciunt*. Ast.

καθῆσθαι] Vulgo κεκτῆσθαι, quod sensu caret et ex prægressis huc irrepsisse apparet. Jam diu emendavimus καθῆσθαι, quod cum κεκτῆσθαι facile permutari poterat; idque unum sensus postulat et Ficinus confirmat, ut qui verterit: *ipsi vero—in urbe sedent nihil agentes aliud, quam custodiam*. Καθῆσθαι duplicem continet vituperationem; significat enim tam otiosam desidemque vivendi rationem (sic Polit. ii. 12. p. 371. B: ἀργήσει τῆς αὐτοῦ δημιουργίας, καθήμενος ἐν ἀγορᾷ. Xenoph. Œcon. vi. 7. τοὺς δὲ τεχνίτας μὴ μάχεσθαι, ἀλλ', ὅπερ πεπαίδευνται, καθῆσθαι μήτε πονοῦντας μήτε κινδυνεύοντας. Liban. Socrat. Apolog. p. 671. A. τὸ καθῆσθαι ποιοῦντα μηδέν. Cf. Græv. Lect. Hesiod. c. xi. Bergler. ad Alciphr. i. 26. Klotz. ad Tyrt. p. 143. Est Latinorum *sedere* et *desidere*), quam vile hominum genus; καθῆσθαι enim et καθήμενος propriæ sunt voces in artibus sellulariis iisque contemtis, vid. Salmas. de usur. c. 12. p. 337. Valcken. ad Herodot. ii. 86. et Ammon. p. 215.—Deinde ad οὐδὲν ἄλλο intelligi debet ποιοῦντες. vid. Abresch. Diluc. Thucyd. p. 180. Duker. ad Thucyd. iii. 85. Fischer. ad Weller. t. iii. p. ii. p. 33. Latinorum est *nihil aliud quam*, de quo vid. Gronov. ad Liv. ii. 1. Duker. ad Flor. iii. 23. 3. Ast.

ἐπισίτιοι] Laudat hunc locum Athen. vi. p. 246. A. ubi legitur λαβόντες. Ast.

οὐδὲ ἄλλοις διδόναι] Ficin. *Neque quidquam scortis largiri*—. Codex Reg. vestigia genuinæ lectionis plura conservavit, legens ἑτέροις, corrupte tamen pro ἑταίραις. Ex illa voce, ἑτέροις, interpretationis sane non bonæ loco ortum est ἄλλοις, quod textum plane corrupit. Faehse.

ἑταίραις] Cod. Reg. et Ven. ἑτέροις, unde fluxit quod in Ald. Bas. 1. 2. et Steph. scriptum reperitur, ἄλλοις. Sæpissime inter se permutata legimus ἕτερος et ἑταῖρος, ut in Xenoph. Hellen. ii. 3. 46. Anab. iv. 2. 3. et 30. Cf. Alberti Observat. Philol. in Jacob. v. 12. Sluiter. Lect. Andocid. p. 107. et Schweighäus. ad Athen. xiii. p. 566. A. Ironiam in his inesse, produnt ea, quæ sequuntur οἱ εὐδαίμονες δοκοῦντες εἶναι. Ast.

νέστατοί εἰσιν, οὐ μὴν πρὸς τοῦτο βλέποντες τὴν πόλιν οἰ-
κίζομεν, ὅπως ἕν τι ἡμῖν ἔθνος ἔσται διαφερόντως εὔδαιμον,
ἀλλ' ὅπως ὅτι μάλιστα ὅλη ἡ πόλις· ᾠήθημεν γὰρ ἐν τῇ
τοιαύτῃ[w] μάλιστα[x] ἂν εὑρεῖν[y] δικαιοσύνην καὶ αὖ ἐν τῇ
κάκιστα οἰκουμένῃ ἀδικίαν, κατιδόντες[z] δὲ κρῖναι ἂν ὃ πά-
λαι ζητοῦμεν. νῦν μὲν οὖν, ὡς οἰόμεθα, τὴν εὐδαίμονα
πλάττομεν οὐκ ἀπολαβόντες, ὀλίγους[a] ἐν αὐτῇ τοιούτους
τινὰς θέντες,[b] ἀλλ' ὅλην· αὐτίκα δὲ τὴν ἐναντίαν σκεψό-
μεθα.[c] ὥς περ οὖν ἂν[d] εἰ[e] ἡμᾶς ἀνδριάντας[f] γράφοντας III. i. 167.
προσελθών τις[g] ἔψεγε, λέγων[h] ὅτι οὐ τοῖς καλλίστοις τοῦ
ζώου τὰ κάλλιστα φάρμακα προστίθεμεν—οἱ γὰρ ὀφθαλ-
μοὶ κάλλιστον ὂν οὐκ ὀστρείῳ ἐναληλιμμένοι[i] εἶεν ἀλλὰ
μέλανι—, μετρίως ἂν ἐδοκοῦμεν πρὸς αὐτὸν ἀπολογεῖσθαι

οὐδὲν ΑΘΠΦtrmr, ἂν οὐδὲν ἂν DK : οὐδὲν ἂν *ς.—[w] ταύτῃ t.—[x] μάλιστ' v.—[y] ἀνευρεῖν ΦDr.—[z] κατιδόντα q.—[a] ὀλίγους post τοιούτους ponit Φ : ὀλίγους ἐν αὐτῇ ὀλίγους τινὰς t.—[b] τιθέντες Atrm.—[c] σκεψώμεθα ΘΦr et corr Π : σκεψοίμεθα q.—[d] ἂν om rm.—[e] εἰ om Θir.—[f] ἀνδριάντα v.—[g] τις ἂν t, ἄν τις Ξvmς.—[h] ἔψεγε λέγων

προσελθὼν ἄν τις] In cod. Reg. deest ἂν, quod probat Schafer. Melet. Crit. p. 102. haud satis recte, ut opinor; ἂν enim non otiosum est, sed et hoc et præcedens habent, quo referantur. Scilicet prius ἂν in ὥσπερ οὖν ἂν ad totam, quæ sequitur, enuntiationem pertinet et poni aliquid significat, quod fieri posse cogitetur; alterum, cum participio προσελθὼν conjunctum, ad hoc solum spectat et significat, *si forte accederet*. Sic Polit. x. 598. C. γράψας ἂν—ἐξαπατῴη ἄν. Phædr. 260. A. Gorg. 521. C. Xenoph. Anab. vi. 4. 7. vid. Hermann. ad Viger. p. 781. Ast.

προστίθεμεν] Schäferus l. l. legi jubebat προστιθεῖμεν; quod haud necessarium esse censeo; namque duæ, ut solet, constructiones mixtæ sunt: ἔψεγε, ὅτι οὐ—προστιθεῖμεν, et λέγων ὅτι, οὐ προστίθετε; igitur propter orationem directam, quæ locum etiam habere poterat et scriptori obversabatur, προστίθεμεν recte habere existimo. Quod sequitur: οἱ γὰρ ὀφθαλμοὶ—εἶεν (sic vulgo legitur), id pro accusativo cum infinitivo positum est, ut solet optativus adhiberi, indicativo vel optativo cum ὅτι præcedente. Sic Polit. x. p. 614. D. ἑαυτοῦ δὲ προσελθόντος εἰπεῖν, ὅτι δέοι—ἄγγελον γενέσθαι—καὶ διακελεύοιντό οἱ ἀκούειν—πάντα τὰ ἐν τῷ τόπῳ. Sympos. c. 26. p. 58. οἶμαι γάρ σε οὑτωσὶ πως εἰπεῖν, ὅτι τοῖς θεοῖς κατεσκευάσθη τὰ πράγματα δι' ἔρωτα καλῶν· αἰσχρῶν γὰρ οὐκ εἴη ἔρως. Phædon. 95. D. οὐδὲν κωλύειν φὴς—ὅτι δὲ πολυχρόνιόν τέ ἐστιν ἡ ψυχὴ—καὶ ταλαιπωρουμένη τε δὴ πρῶτον τὸν βίον ζῴη καὶ—ἀπολλύοιτο p. 69. B. ὥς τινες ἔλεγον—καὶ πότερον τὸ αἷμά ἐστιν, ᾧ φρονοῦμεν—ὁ δὲ ἐγκέφαλός ἐστιν ὁ τὰς αἰσθήσεις παρέχων τοῦ ἀκούειν—ἐκ τούτων δὲ γίγνοιτο μνήμη καὶ δόξα. Epist. vii. p. 328. C. ὅμως ἔρρεψε δεῖν—καὶ νῦν πειρατέον εἶναι· πείσας γὰρ ἕνα μόνον, ἱκανῶς πάντα ἐξειργασμένος ἐσοίμην ἀγαθά. Xenophont. Anabas. vii. 3. 13. ἔλεγον πολλοὶ κατὰ ταυτὰ, ὅτι παντὸς ἄξια λέγει (Schäferus corrigi vult λέγοι) Σεύθης· χειμὼν γὰρ εἴη καὶ οὔτε—δυνατὸν εἴη cet. Vide Schäfero laudata p. 102. Neque hic optativus statim post indicativum positus offendere debet; solent enim Græci etiam in una eademque periodo indicativum et optativum conjungere, ut Phileb. 35. E. 38. E. Sympos. 208. C. Dialog. de just. 374. B. Isocrat. de Pac. p. 177. ed. Corai. Cf. Matthiæ Miscell. Philolog. v. ii. p. i. p. 53. Gr. Græc. p. 710. et Heind. ad Phædon. §. 12. et 16. Sic vulgatam scripturam εἶεν defendi posse existimo; quanquam magis placet id, quod nos reposuimus, εἰσιν. De verbis ὀφθαλμοὶ, κάλλιστον ὂν, vid. ad i. 9. Ast.

λέγοντες Ὦ θαυμάσιε, μὴ οἴου δεῖν ἡμᾶς οὕτω καλοὺς ὀφθαλμοὺς γράφειν, ὥστε μηδὲ[j] ὀφθαλμοὺς φαίνεσθαι, μηδ' αὖ[k] τἆλλα μέρη, ἀλλ' ἄθρει εἰ τὰ προσήκοντα ἑκάστοις ἀποδιδόντες τὸ ὅλον καλὸν ποιοῦμεν.[l] καὶ δὴ καὶ νῦν μὴ ἀνάγκαζε ἡμᾶς τοιαύτην εὐδαιμονίαν τοῖς φύλαξι προσάπτειν, ἣ ἐκείνους πᾶν μᾶλλον ἀπεργάσεται ἢ φύλακας. ἐπιστάμεθα γὰρ καὶ τοὺς γεωργοὺς ξυστίδας ἀμφιέσαντες καὶ χρυσὸν περιθέντες πρὸς ἡδονὴν ἐργάζεσθαι κελεύειν τὴν γῆν, καὶ τοὺς κεραμέας[m] κατακλίναντες[n] ἐπὶ δεξιὰ[o] πρὸς τὸ πῦρ διαπίνοντάς τε καὶ εὐωχουμένους, τὸν τροχὸν παραθεμένους, ὅσον ἂν ἐπιθυμῶσι[p] κεραμεύειν, καὶ τοὺς ἄλλους πάντας τοιούτῳ τρόπῳ μακαρίους ποιεῖν, ἵνα δὴ ὅλη ἡ πόλις εὐδαιμονῇ. ἀλλ' ἡμᾶς μὴ οὕτω νουθέτει, ὡς, ἄν σοι πει-
II. 421. θώμεθα,[q] οὔτε ὁ γεωργὸς γεωργὸς ἔσται οὔτε[r] ὁ[s] κεραμεὺς κεραμεὺς οὔτε ἄλλος οὐδεὶς οὐδὲν ἔχων σχῆμα, ἐξ ὧν πόλις γίγνεται. ἀλλὰ τῶν μὲν[t] ἄλλων ἐλάττων λόγος·[u] νευρορ-
III. i. 168. ῥάφοι γὰρ φαῦλοι γενόμενοι καὶ διαφθαρέντες καὶ προσποιησάμενοι εἶναι μὴ ὄντες πόλει[v] οὐδὲν δεινόν· φύλακες δὲ νόμων τε καὶ πόλεως μὴ ὄντες ἀλλὰ δοκοῦντες ὁρᾷς δὴ ὅτι πᾶσαν ἄρδην πόλιν[w] ἀπολλύασι,[x] καὶ αὖ[y] τοῦ εὖ οἰκεῖν

τις προσελθὼν Φ.—[i] *ἐναληλειμμένοι* K.—[j] *μηδ'* v.—[k] *οὖν* v.—[l] *ποιοῖμεν* Φ.—[m] *κεραμεούς* t.—[n] *ἐπικλίναντες* tm.—[o] *ἐπιδέξια* A, *ἐπὶ δεξιᾶ* Πt, *ἐπὶ δεξιὰν* Φr.—[p] *ἐπιθυμήσωσι* ς.—[q] *πιθώμεθα* q.—[r] *οὔτε γὰρ* v.—[s] *ὁ* om Θ, postponit Φ.—[t] *τὰ μὲν ἄλλα* K.—[u] *ὁ λόγος* Φ.—[v] *πόλις* Θ.—[w] *πόλιν ἄρδην* Θt, *πόλιν τὴν ἄρδην* v.—[x] *ἀπολύου-*

ἐπιστάμεθα] Haud dubie rectius haberet *ἠπιστάμεθα*, ut Ficinus quoque vertit: *possemus enim et agricolas hortari, ut—animi tantum gratia colerent terram.* Tunc paulo post pro *εὐδαιμονῇ* legendum esset *εὐδαιμονοίη*, ex lege certe Atticorum accuratius scribentium (vid. Dawes. Miscell. Crit. p. 66. Hermann. ad Viger. p. 806. et in Mus. Antiq. Stud. p. 194. Schäfer. Melet. Crit. p. 121.) Sic et Ficinus videtur legisse vertens: *quo universa civitas felix esset.* Ast.

ξύστιδας] Schol. Ruhnk. p. 158. *ξυστίς ἐστι λεπτὸν ὕφασμα περιβόλαιον, ἢ χιτὼν ποδήρης γυναικεῖος. — οἱ δὲ, ξυστίδα τὸ λεπτὸν, παρὰ τὸ ἐξύσθαι. ἰδίως δὲ τὸ τῶν τραγῳδῶν ἔνδυμα.* Cf. interp. ad Aristoph. Nub. 70. et Ruhnk. ad Tim. p. 188. Ast.

ἐγώ, πολιτικήν γε, καὶ ὀρθῶς ἀποδέξει.[u] αὖθις δὲ περὶ αὐ-
τοῦ, ἐὰν βούλῃ, ἔτι κάλλιον δίιμεν. νῦν γὰρ οὐ τοῦτο ἐζη-
τοῦμεν[v] ἀλλὰ δικαιοσύνην· πρὸς οὖν τὴν ἐκείνου ζήτησιν,
ὡς ἐγᾦμαι, ἱκανῶς ἔχει. Ἀλλὰ καλῶς, ἔφη, λέγεις.

Δύο μήν,[w] ἦν δ' ἐγώ, ἔτι λοιπὰ ἃ δεῖ κατιδεῖν ἐν τῇ
πόλει, ἥ τε σωφροσύνη καὶ οὗ δὴ ἕνεκα πάντα ζητοῦμεν,
δικαιοσύνη.[x] Πάνυ μὲν οὖν. Πῶς οὖν ἂν[y] τὴν δικαιοσύνην
εὕροιμεν, ἵνα μηκέτι πραγματευώμεθα περὶ σωφροσύνης;
Ἐγὼ μὲν τοίνυν, ἔφη, οὔτε οἶδα οὔτ' ἂν βουλοίμην αὐτὸ
πρότερον φανῆναι, εἴ περ μηκέτι ἐπισκεψόμεθα[z] σωφροσύ-
III. i. 186. νην· ἀλλ' εἰ ἔμοιγε βούλει χαρίζεσθαι, σκόπει πρότερον
τοῦτο ἐκείνου. Ἀλλὰ μέντοι, ἦν δ' ἐγώ, βούλομαί γε, εἰ[a]
μὴ ἀδικῶ. Σκόπει δή, ἔφη.[b] Σκεπτέον, εἶπον· καὶ ὥς γε
ἐντεῦθεν ἰδεῖν, ξυμφωνίᾳ[c] τινὶ καὶ ἁρμονίᾳ προσέοικε μᾶλ-
λον ἢ τὰ πρότερον. Πῶς; Κόσμος[d] πού τις,[e] ἦν δ' ἐγώ,

m.—[p] αὐτὴν tvm.—[q] τῶν om Ξς.—[r] οὐ t.—[s] καλήν r.—[t] ἀνδρείαν τοῦτο t.—[u] ἀποδέξει v.—[v] ζητοῦμεν v.—[w] μὲν t.—[x] δικαιοσύνην q.—[y] ἂν οὖν ΘΦr.—[z] ἐπισκεψώμεθα Ξtvm.—[a] εἰ ΑΠΚqv, ἢ pr Θ: ἦν *ς.—[b] σκόπει δὴ ἔφη om Κ.—[c] ξ. ΑΘΠΦΚvr.—[d] ὁ κόσμος ΘΠv.—[e] τῆς ψυχῆς Φr.—[f] τινῶν om v.—[g] καὶ ὥς Φr.

§. 8. *περὶ τῶν αὐτῶν*] Articulum *τῶν* e cod. Reg. et Stob. recepimus. Sic et Ficinus: *de iisdem*. Ast.

νόμιμον] Steph. legi volebat *μόνιμον*, quod valde placet, si prægressa respexeris; quanquam *νόμιμον* habet quo se defendat; spectat enim ad illa: *δόξης τῆς ὑπὸ νόμου διὰ τῆς παιδείας γεγονυίας περὶ τῶν δεινῶν*. Ast.

ἀνδρίαν] Sic cod. Reg. pro *ἀνδρείαν*, qui pluribus in locis meliorem scripturam servavit. Ast.

ἐπισκεψόμεθα] Ald. Bas. 1. et 2. *ἐπισκεψώμεθα*. Ast.

σκεπτέον] Propter præcedens *σκόπει δὴ* et sequens *καὶ—προσέοικε* exspectabas *σκέπτομαι*, ut Ficinus quoque vertit: *ecce perquiro*, et facile fieri potuit, ut *σκέπτομαι* et *σκεπτέον* confunderentur, quum vocum terminationes compendio tachygraphico exprimerentur. Quod præcedit *ἢ μὴ ἀδικῶ* est: *si recte ita facio*, ut Polit. x. 9. *ἦν μὴ ἀδικῶ γε, si recte censeo, si non erro*. x. 11. *ἀδικοίην μέντ' ἂν—εἰ μή, non rectum esset, nisi*. Et sic sexcenties. Ast.

κόσμος πού τις] Laudat Stob. p. 253. Ast.

ἡ σωφροσύνη ἐστὶ καὶ ἡδονῶν τινῶν[f] καὶ ἐπιθυμιῶν ἐγκράτεια, ὥς[g] φασι. κρείττω[h] δὴ[i] αὑτοῦ φάινονται[j] οὐκ οἶδ'[k] ὅν τινα τρόπον *καλοῦντες,[l] καὶ ἄλλα[m] ἄττα τοιαῦτα ὥς περ ἴχνη αὐτῆς λέγεται.[n] ἦ γάρ; Πάντων μάλιστα, ἔφη. Οὐκοῦν τὸ μὲν κρείττω αὑτοῦ γελοῖον; ὁ γὰρ ἑαυτοῦ κρείττων καὶ ἥττων δή που ἂν αὑτοῦ εἴη καὶ ὁ ἥττων κρείττων· ὁ αὐτὸς γὰρ ἐν ἅπασι τούτοις προσαγορεύεται. Τί δ' οὔ; II. 431.
Ἀλλ', ἦν δ' ἐγώ, φαίνεταί μοι βούλεσθαι λέγειν οὗτος ὁ λόγος ὥς τι[o] ἐν αὐτῷ τῷ ἀνθρώπῳ περὶ τὴν ψυχὴν τὸ μὲν βέλτιον ἔνι,[p] τὸ δὲ χεῖρον, καὶ ὅταν μὲν τὸ[q] βέλτιον[r] φύσει τοῦ χείρονος[s] ἐγκρατὲς ᾖ, τοῦτο λέγειν τὸ[t] κρείττω αὑτοῦ—

—[h] κρείττω...τρόπον] διὰ ταῦτα Φr.—[i] δὴ ΑΘΠΚqtvm: δὲ *s.—[j] φαίνονται om m.—[k] οἶδ' m.—[l] καλοῦντες add q.—[m] ἄλλ' r.—[n] λέγοντες γρ Α, λέγονται Ξ: ὄντα κρείττων αὐτῆ ἑαυτῆς φαίνεταί τε καὶ λέγεται καὶ τὰ ἑξῆς Φr.—[o] τε s.—[p] εἶναι Ξs.—[q] τὸν m.—[r] βέλτιστον Θ.—[s] τοῦ χείρονος φύσει ΘΦr.—[t] τὸν Α.—[u] ἐπαι-

κρείττω δὲ αὑτοῦ φαίνονται] Quamvis depravatus sit hic locus, sensum tamen ejus assequi, non difficile esse videtur. In quodam vet. exempl. legitur, *κρείττω δὲ αὑτοῦ λέγοντες, οὐκ οἶδα* etc. sed non cohæret quod sequitur verbum *λέγεται*. Affertur vero et alia lectio, *κρείττω δὲ αὑτοῦ ἀποφαίνονται*: quod certe verbum multo aptius est quam *φαίνονται*: nec solum aptius est multo, sed ejusmodi quod recipi posset, nisi obstaret illud sequens verbum *λέγεται*. etenim ne cum hoc quidem cohæret. Quare videndum annon *ἀποφαίνονται* retinentes, mutare debeamus *λέγεται* in *λέγοντες*. Sed alia præterea hic sunt examinanda, quæ negotium possunt facessere: ad quod enim nomen ex præcedentibus dicemus hæc verba *κρείττω δὲ αὑτοῦ* referri? nihilo enim magis ad *ἐγκράτεια* quam ad *σωφροσύνη* referre possumus. Quid? an dicemus, quamvis *σωφροσύνη* dixisset, hæc subjunxisse non aliter quam si voce *σώφρονα* usus esset? Vereor ne hoc dicere necesse sit: et subaudiendo *τὸν σώφρονα*, ex *φαίνονται* facere *φαίνεσθαι*: perinde ac si ita scriptum esset, *κρείττω δὲ αὑτοῦ φαίνεσθαι τὸν σώφρονα*. Talem certe quampiam lectionem Fic. sequutus est: quippe qui verterit, *Dum vero temperatum hominem seipso potentiorem suique victorem nescio quo modo esse dicunt, et quædam similia, tanquam vestigia nonnulla temperantiæ signant*. Steph.

δὴ φάσκοντες] Vulgo legitur *δὲ* et *φαίνονται*, quod Cornarius in *ἀποφαίνονται* mutari volebat, Bas. 2. vero *δὴ* et *λέγοντες* exhibet, ex quo apparet, *φαίνονται*, quod sensum nullum habet, corruptam esse scripturam; jam si utramque scripturam conjungas, *φαίνονται* et *λέγοντες*, illius videlicet vestigia, hujus vero sensum sequens, sponte obvenit *φάσκοντες*, quod cum *δὴ* conjunctum, ut sit præcedentis *ὥς φασι* explicatio et expositio, pro genuina habeo scriptura. Quocirca *φάσκοντες* reponere haud dubitavimus. Ast.

κρείττω αὑτοῦ] Int. *λέγειν τινά*. Bas. 1. et 2. *κρείττων*, Stob. *κρεῖττον*. De locutione *κρείττων* et *ἥττων αὑτοῦ* vid. de Legib. i. p. 627. A. et Wyttenbach. ad Phædon. p. 19. (sic). Ast.

ὥστε ἐν αὐτῷ] Affertur alia lectio, quæ habet, *ὡς δυοῖν ἐν αὐτῷ* etc. Sed nullum hic usum præstat particula *ὡς*, quum sequatur infinitivus, contra autem sequi oporteat indicativum. Steph.

ὡς δυεῖν] E Cornarii conjectura reposuimus *δυεῖν* pro *τὶ*, quod in Cod. Reg. Ald. Bas. 1. et 2. comparet, exemp. Stephan. *τέ*. Ficinus: *atque videtur mihi id velle sibi hic sermo, quod in hominis anima duo quædam sunt, unum quidem melius, alterum vero deterius*. Mox *ἔνι* pro *εἶναι* e cod. Reg. Ven. Schol. Ruhnk. et Stob. rescripsimus. Ast.

ἐγκρατὲς] Stob. *ἐγκρατέστερον*. In verbis *τούτοις δὲ* particula *δὲ* apodosin facit, v. nostra ad Phædr. p. 336. Ast.

ἐπαινεῖ[u] γοῦν—, ὅταν δὲ ὑπὸ τροφῆς κακῆς ἢ τινος ὁμιλίας[v] κρατηθῇ ὑπὸ πλήθους τοῦ χείρονος σμικρότερον τὸ βέλτιον ὄν, τοῦτο δὲ ὡς ἐν ὀνείδει[w] ψέγειν τε καὶ καλεῖν
III. i. 187. ἥττω ἑαυτοῦ καὶ ἀκόλαστον[x] τὸν οὕτω διακείμενον. Καὶ γὰρ ἔοικεν, ἔφη. Ἀπόβλεπε τοίνυν, ἦν δ'[y] ἐγώ, πρὸς τὴν νέαν ἡμῖν πόλιν, καὶ εὑρήσεις ἐν[z] αὐτῇ τὸ ἕτερον τούτων ἐνόν· κρείττω γὰρ αὐτὴν αὑτῆς δικαίως φήσεις προσαγορεύεσθαι, εἴ περ οὗ[a] τὸ ἄμεινον τοῦ χείρονος ἄρχει,[b] σῶφρον κλητέον καὶ κρεῖττον[c] αὑτοῦ. Ἀλλ' ἀποβλέπω, ἔφη, καὶ ἀληθῆ λέγεις. Καὶ μὴν καὶ τάς γε πολλὰς καὶ παντοδαπὰς ἐπιθυμίας καὶ ἡδονάς[d] τε καὶ λύπας ἐν πᾶσι μάλιστα[e] ἄν τις εὕροι[f] καὶ γυναιξὶ καὶ οἰκέταις καὶ τῶν ἐλευθέρων λεγομένων ἐν τοῖς πολλοῖς τε[g] καὶ φαύλοις. Πάνυ μὲν οὖν. Τὰς δέ γε ἁπλᾶς τε καὶ μετρίας, αἳ δὴ μετὰ νοῦ τε καὶ δόξης ὀρθῆς λογισμῷ ἄγονται, ἐν ὀλίγοις τε ἐπιτεύξει καὶ τοῖς βέλτιστα μὲν φῦσι, βέλτιστα δὲ παιδευθεῖσιν. Ἀληθῆ, ἔφη. Οὐκοῦν καὶ ταῦτα ὁρᾷς ἐνόντα σοι ἐν τῇ πόλει, καὶ κρατουμένας αὐτόθι τὰς ἐπιθυμίας τὰς ἐν τοῖς πολλοῖς τε καὶ φαύλοις ὑπό τε τῶν ἐπιθυμιῶν καὶ τῆς φρονήσεως τῆς ἐν τοῖς ἐλάττοσί τε καὶ[h] ἐπιεικεστέροις; Ἔγωγ', ἔφη. [§. 9.] Εἰ ἄρα δεῖ τινὰ πόλιν προσαγορεύειν κρείττω ἡδονῶν τε καὶ ἐπιθυμιῶν καὶ αὐτὴν αὑτῆς, καὶ[i] ταύτην προσρητέον. Παντάπασι μὲν οὖν, ἔφη. Ἆρ' οὖν οὐ καὶ[j] σώφρονα κατὰ πάντα ταῦτα;[k] Καὶ μάλα,
III. i. 188. ἔφη. Καὶ μὴν εἴ περ αὖ[l] ἐν ἄλλῃ πόλει ἡ αὐτὴ δόξα ἔνεστι τοῖς τε[m] ἄρχουσι καὶ ἀρχομένοις περὶ τοῦ οὕς τινας δεῖ ἄρχειν, καὶ ἐν ταύτῃ ἂν εἴη τοῦτο ἐνόν. ἢ οὐ δοκεῖ; Καὶ μάλα, ἔφη, σφόδρα. Ἐν ποτέροις οὖν φήσεις τῶν

νεῖ...ἑαυτοῦ om ΘΦr: ἐπαίνει K, ἐπαινεῖν v.—[v] μιλίας v, ὁμιλικίας t.—[w] ἐνὸν ἤδη v.—[x] οὐκ ἀκόλαστον r.—[y] ἔφην ΘΦr.—[z] ἓν ὄν r.—[a] οὖν ΘΠΦKtvmr.—[b] ἄρχει τοῦ χείρονος t.—[c] χεῖρον t.—[d] τε καὶ ἡδονὰς Φ.—[e] τούτοις Φ.—[f] εὕροι τις ἂν ΘΦr.—[g] γε om K.—[h] καὶ τοῖς Φr.—[i] καὶ ante ταύτην om Ξs.—[j] καὶ om v.—[k] ταῦτα

ἐπαινεῖ] Legendum puto ἐπαινεῖν. Steph.

προσαγορεύεσθαι] Stob. προσαγορεύειν, deinde εἴπερ οὖν τὸ ἄμεινον. Ast.

ἐπιτεύξει] Cum accusativo conjunctum, de quo vid. Hermann. ad Viger. p. 744. et Matthiæ Gr. Gr. p. 489. Mox pro φῦσι Stob. exhibet τραφεῖσι. Ast.

§. 9. ταύτην] Cod. Reg. et Bas. 2. καὶ ταύτην. Ast.

καὶ μὴν εἴπερ] Stob. καὶ μήν, ἂν εἴπερ ἐν ἄλλῃ. Ast.

πολιτῶν τὸ σωφρονεῖν ἐνεῖναι, ὅταν οὕτως ἔχωσιν, ἐν τοῖς
ἄρχουσιν ἢ ἐν τοῖς ἀρχομένοις; Ἐν ἀμφοτέροις που, ἔφη.
Ὁρᾷς οὖν, ἦν δ' ἐγώ, ὅτι ἐπιεικῶς ἐμαντευόμεθα ἄρτι ὡς
ἁρμονίᾳ τινὶ ἡ σωφροσύνη ὡμοίωται; Τί δή; Ὅτι οὐχ ὥς
περ ἡ ἀνδρία καὶ ἡ σοφία ἐν μέρει τινὶ ἑκατέρα ἐνοῦσα ἡ
μὲν σοφήν, ἡ δὲ ἀνδρείαν τὴν πόλιν παρείχετο, οὐχ οὕτω[n] II. 432.
ποιεῖ[o] αὕτη, ἀλλὰ δι' ὅλης ἀτεχνῶς τέταται[p] διὰ πασῶν
παρεχομένη ξυνᾴδοντας τούς τε ἀσθενεστάτους ταὐτὸν καὶ
τοὺς ἰσχυροτάτους[q] καὶ τοὺς μέσους, εἰ μὲν βούλει, φρονή-
σει, εἰ δὲ βούλει, ἰσχύϊ, εἰ δέ, καὶ πλήθει ἢ χρήμασιν ἢ
ἄλλῳ ὁτῳοῦν τῶν τοιούτων· ὥστε[r] ὀρθότατ' ἂν φαῖμεν ταύ-
την τὴν ὁμόνοιαν σωφροσύνην εἶναι, χείρονός τε καὶ ἀμείνο-
νος κατὰ φύσιν ξυμφωνίαν, ὁπότερον δεῖ ἄρχειν καὶ ἐν πό-
λει καὶ ἐν[s] ἑνὶ ἑκάστῳ. Πάνυ μοι, ἔφη, ξυνδοκεῖ.

Εἶεν, ἦν δ' ἐγώ, τὰ μὲν τρία ἡμῖν ἐν τῇ πόλει κατῶπται,
ὥς[t] γε οὑτωσὶ δόξαι· τὸ δὲ δὴ λοιπὸν εἶδος, δι' ὃ ἂν ἔτι III. i. 189.
ἀρετῆς μετέχοι πόλις, τί ποτ' ἂν εἴη; δῆλον γὰρ ὅτι τοῦ-
τό[u] ἐστιν ἡ δικαιοσύνη. Δῆλον. Οὐκοῦν, ὦ Γλαύκων,
νῦν δὴ ἡμᾶς δεῖ ὥς περ κυνηγέτας τινὰς θάμνον[v] κύκλῳ[w]
περιίστασθαι, προσέχοντας τὸν νοῦν μή πῃ διαφύγῃ ἡ δι-
καιοσύνη καὶ ἀφανισθεῖσα ἄδηλος γένηται· φανερὸν γὰρ δὴ
ὅτι ταύτῃ πῃ ἔστιν. ὅρα οὖν καὶ προθυμοῦ κατιδεῖν, ἐάν
πως πρότερος[x] ἐμοῦ ἴδῃς καὶ[y] ἐμοὶ[z] φράσῃς.[a] Εἰ γὰρ

πάντα Ξtvs.—[l] αὖ om ΘΦr.—[m] γε Φr, om K.—[n] ὅτη Θ, ὅτι ΠΦr.—[o] τὴν πόλιν ποιεῖ Ξvs.—[p] τέτακται tm.—[q] καὶ τοὺς ἰσχυροτάτους om s.—[r] ὡς Φr.—[s] ἐν ante ἑνὶ om pr Ξ.—[t] ὥστε Kq.—[u] τοῦτ' trmr.—[v] θάμνων A.—[w] κύκλον Θ. (ω)—[x] προτέρως t, πρότερον Ξs.—[y] καὶ om Θ.—[z] ἐκείνῳ Φr, μοι q.—[a] φράσεις Aq.—[b] ὄφελον

ἄρτι] Stob. ἀρτίως. Mox ὁμοίηται, haud dubie scribere voluit ὁμοιοῦται, quod reposuimus pro ὡμοίωται. Ast.

ἐνοῦσα] Stob. οὖσα. Ast.

οὐχ οὕτω ποιεῖ αὕτη] Verba τὴν πόλιν, quæ in libris editis post οὕτω leguntur, recte a cod. Reg. absunt, nec Ficinus expressit vertens: *quia non, quemadmodum—ita hæc agit, sed—*. Ast.

καὶ τοὺς ἰσχυροτάτους] Hæc verba e cod. Reg. et Stobæo Platoni restituimus; Ficinus quoque ea expressit vertendo: *fortioresque*. Idem suasit De Geer in diatrib. p. 154. Ast.

κύκλῳ περιίστασθαι] Eadem imagine usi sunt Plutarch. de Aud. Poet. t. i. p. 15. D. ἢ μᾶλλον ὀρθῷ τινὶ λογισμῷ περιστάντες καὶ καταδέοντες τὴν κρίσιν, ὅπως μὴ παραφέρηται τῷ πρέποντι πρὸς τὸ βλάπτον. Themist. Orat. xii. p. 288. A. οἷον κυνηγέτης κύκλῳ θηρίον περιδραμών. Hoc dicitur etiam περιστοιχίζεσθαι, *circumvallare*, vid. Wernsdorf. ad Himer. Sophist. p. 25. Ast.

πρότερος] Sic Cod. Reg. libri editi πρότερον; eleganter vero adjectiva adverbiorum partes agunt, ut Alcibiad. i. ἐγὼ γάρ τοι ἐν νῷ εἶχον πρότερός σοι

ὤφελον,[b] ἔφη. ἀλλὰ μᾶλλον ἐάν μοι ἑπομένῳ χρῇ καὶ τὰ δεικνύμενα δυναμένῳ[c] καθορᾶν, πάνυ[d] μετρίως χρήσει.[e] Ἕπου, ἦν δ' ἐγώ, εὐξάμενος μετ' ἐμοῦ. Ποιήσω ταῦτα, ἀλλὰ μόνον, ἦ δ' ὅς, ἡγοῦ. Καὶ μήν,[f] εἶπον ἐγώ, δύσβατός γέ τις ὁ τόπος φαίνεται καὶ ἐπίσκιος· ἔστι γοῦν[g] σκοτεινὸς καὶ δυσδιερεύνητος.[h] ἀλλὰ γὰρ ὅμως ἰτέον. Ἰτέον γάρ, ἔφη. Καὶ ἐγὼ κατιδὼν Ἰοὺ ἰού, εἶπον, ὦ Γλαύκων· κινδυνεύομέν τι ἔχειν ἴχνος,[i] καί μοι δοκεῖ οὐ πάνυ[j] τι[k] ἐκφευξεῖσθαι ἡμᾶς. Εὖ ἀγγέλλεις,[l] ἦ δ' ὅς. Ἦ μήν, ἦν δ' ἐγώ, βλακικόν γε ἡμῶν τὸ πάθος. Τὸ ποῖον; Πάλαι, ὦ μακάριε, φαίνεται πρὸ ποδῶν ἡμῖν ἐξ ἀρχῆς κυλινδεῖσθαι, καὶ οὐχ ἑωρῶμεν ἄρ' αὐτό, ἀλλ' ἦμεν καταγελαστότατοι, ὥς περ οἱ[m] ἐν ταῖς χερσὶν ἔχοντες ζητοῦσιν ἐνίοτε
III. i. 190. ὃ ἔχουσι· καὶ ἡμεῖς εἰς αὐτὸ μὲν οὐκ ἀπεβλέπομεν,[n] πόρρω δέ ποι[o] ἀπεσκοποῦμεν,[p] ᾗ δὴ[q] καὶ ἐλάνθανεν ἴσως ἡμᾶς. Πῶς, ἔφη, λέγεις; Οὕτως, εἶπον, ὡς δοκοῦμέν μοι καὶ λέ-

η
ΑΞΦKqtvm et corr r.—[c] δυναμένῳ om t.—[d] πάνυ μοι Av.—[e] χρήσει Kς.—[f] μοι ς.—[g] οὖν Ξς.—[h] δυσερεύνητος Kq.—[i] ἔχειν ἴχνος ΑΠKqtrm, δοκεῖν ἔχειν ἴχνος Φ: ἔχειν δοκεῖν ἴχνος *ς.—[j] οὐ πάνυ om ΘΦr.—[k] τοι t, om ΘΦvr.—[l] ἀγγελεῖς Θ, ἀγγέλεις t.—[m] οἳ K.—[n] ἀποβλέπομεν t.—[o] ποι ΑΘΠΦvr: πη *ς.—[p] ἐπεσκοποῦμεν

προσελθὼν ταὐτὰ ταῦτ' ἔρεσθαι. Vid. Fischer. ad Weller. t. iii. p. 331. Ast.

καὶ ἐμοὶ φράσεις] Vulgo *φράσῃς*, quod, nisi *καὶ* in *ἵνα* mutaveris, locum habere nequit; lenissima igitur mutatione *φράσεις* scripsimus, ut futurum imperativi vim habeat, vid. Musgrav. ad Eurip. Ion. 1357. Viger. de Idiotism. p. 198. ubi v. Hoogev. et Hermann. Recte Ficinus vertit: *eamque mihi ostendito*. Ast.

εἰ γὰρ ὤφελον] Optativam habet significationem, vid. interpp. ad Mœr. p. 285. Fischer. ad Weller. t. iii. p. i. p. 147. Hermann. ad Viger. 742. Mox *χρήσει* cod. Reg. servavit. Ast.

καὶ μὴν] Sic cod. Reg. Ald. Bas. 1. simpliciter *καὶ* legunt, Stephan. vero *καί μοι*. Sequens *τὶς* intendit et affirmat, ut sexcenties, quanquam viros etiam doctissimos in hac re a vero aberrantes video, ut Wyttenbachium ad Phædon. §. 1. qui *τινὲς* in verbis *παρῆσάν τινες καὶ πολλοί γε* interpretatur *quidam*, et paucitatem proprie significare censet; imo *τινὲς* intendit vel affirmat: aderant *sane* et quidem multi. *Τινὲς πολλοὶ* est *permulti*, *τινὲς οὐ πολλοὶ*, *non ita multi*. Ast.

ἔστι γοῦν] Sic cod. Reg. pro *ἔστιν οὖν*. Ficinus: *abdita certe*. Pro *δυσδιερεύνητος* Cod. Reg. habet *δυσερεύνητος*. Ceterum respexit h. l. Themist. Orat. xxi. p. 254. D. *ἔστι δέ που καὶ ἐν τῷ κυνηγεσίῳ τῆς ἀληθείας πολλὰ δύσβατα καὶ ἐπίσκια καὶ τῷ καθ' αὑτὸν μετιόντι δυσδιερεύνητα.* Cf. ejusd. Orat. xxii. p. 271. C. et Wyttenbach. Epist. Crit. p. 41. Ast.

κινδυνεύομέν τι ἔχειν] Cum cod. Reg. omisimus *δοκεῖν*, quanquam fortasse defendi recte possit; *κινδυνεύειν* enim centies sic ponitur, ut sit: *parum abest quin* s. propemodum; igitur est, 'propemodum videmur vestigium aliquod habere' s. parum abest, quin, ut videtur, vestigium invenerimus. Atque *δοκεῖν* solet aliis verbis idem fere significantibus apponi, vid. nostra Phædr. p. 353. Ast.

ὥσπερ] Hæc prægressis annexa sunt explicationis causa, omissa, ut fieri solet, particula explicativa *scilicet* s. *nempe*. Ast.

ᾗ δὴ καὶ] Ab Aldo abest *καί*. Ast.

γοντες αὐτὸ καὶ ἀκούοντες πάλαι οὐ μανθάνειν ἡμῶν αὐτῶν ὅτι ἐλέγομεν τρόπον τινὰ αὐτό. Μακρόν, ἔφη, τὸ προοίμιον τῷ ἐπιθυμοῦντι ἀκοῦσαι. Ἀλλ', ἦν δ' ἐγώ, ἄκουε εἴ τι ἄρα λέγω. [§. 10.] [q]Ὅ[r] γάρ[s] ἐξ ἀρχῆς II. 433.
ἐθέμεθα δεῖν ποιεῖν διὰ παντός, ὅτε τὴν πόλιν κατῳκίζομεν, τοῦτό ἐστιν, ὡς ἐμοὶ δοκεῖ, ἤτοι τούτου τι εἶδος ἡ δικαιοσύνη. ἐθέμεθα δὲ δή που καὶ πολλάκις ἐλέγομεν, εἰ μέμνησαι, ὅτι ἕνα[t] ἕκαστον ἓν δέοι ἐπιτηδεύειν[u] τῶν περὶ τὴν πόλιν, εἰς ὃ αὐτοῦ ἡ φύσις ἐπιτηδειοτάτη πεφυκυῖα[v] εἴη. Ἐλέγομεν γάρ. Καὶ μὴν ὅτι γε τὸ[w] τὰ αὑτοῦ πράττειν καὶ μὴ πολυπραγμονεῖν δικαιοσύνη ἐστί, καὶ τοῦτο ἄλλων τε πολλῶν ἀκηκόαμεν καὶ αὐτοὶ πολλάκις εἰρήκαμεν. Εἰρήκαμεν γάρ. Τοῦτο τοίνυν, ἦν δ' ἐγώ, ὦ φίλε, κινδυνεύει τρόπον τινὰ γιγνόμενον ἡ δικαιοσύνη εἶναι, τὸ τὰ αὑτοῦ πράττειν. οἶσθα ὅθεν[x] τεκμαίρομαι; Οὔκ, ἀλλὰ λέγ', ἔφη. Δοκεῖ μοι, ἦν δ' ἐγώ, τὸ ὑπόλοιπον ἐν τῇ πόλει ὧν[y] ἐσκέμμεθα, σωφροσύνης καὶ ἀνδρίας καὶ φρονήσεως, τοῦτο εἶναι ὃ πᾶσιν ἐκείνοις τὴν δύναμιν παρέσχεν ὥστε ἐγγενέσθαι,[z] καὶ ἐγγενομένοις[a] γε σωτηρίαν παρέχειν, ἕως περ[b] ἂν III. i. 191.
ἐνῇ.[c] καί τοι ἔφαμεν δικαιοσύνην ἔσεσθαι τὸ ὑπολειφθὲν[d] ἐκείνων, εἰ τὰ τρία εὕροιμεν. Καὶ γὰρ ἀνάγκη, ἔφη. Ἀλλὰ μέντοι, ἦν δ' ἐγώ, εἰ δέοι γε κρῖναι τί τὴν πόλιν ἡμῖν τούτων μάλιστα ἀγαθὴν ἀπεργάσεται ἐγγενόμενον,[e] δύσκριτον ἂν εἴη, πότερον ἡ[f] ὁμοδοξία τῶν ἀρχόντων[g] τε[h] καὶ ἀρχομένων, ἢ ἡ περὶ δεινῶν τε καὶ μή, ἅττα ἔστι, δόξης ἐννόμου σωτηρία ἐν τοῖς στρατιώταις ἐγγενομένη,[i] ἢ[j]

Φr.—[q] ἤδη ΦKqr.—[r] ὃ om r.—[s] γὰρ om Φr.—[t] ἓν v.—[u] ἐπιτηδεύειν post πόλιν ponunt Φr.—[v] ἂν r, om ΘΦ.—[w] τὸ om Φtm et pr Ξ.—[x] ὅτι K.—[y] πόλει τῶν ὧν v.—[z] γενέσθαι q.—[a] ἐγγενομένοις ΑΘΠΦKqtvmr et γρ Ξ: ἐγγενόμενα *ς.—[b] περ om Ξtmς.—[c] ἐνῆν K.—[d] ὑποληφθὲν Ξ.—[e] γενόμενον K.—[f] ἡ om ΑΦ.—[g] ἐν ἀρχῇ (ε) r.—[h] prius τε om t.—[i] ἐγγινομένη K, ἐγγινομένη v.—[j] ἢ om Π et pr Θ.—[k] ἡ om

ἀλλ', ἦν δ' ἐγὼ] Laudat hæc Stob. xli. p. 254. Ast.

§. 10. τὸ παρέχον] Sic Stobæus pro ὃ—παρέσχεν. Sed, ni fallor, totus locus ita constituendus est: τοῦτο εἶναι τὸ—δύναμιν παρέχον ὥστε ἐγγενέσθαι καὶ ἐγγενομένοις γε (sic cod. Reg.) σωτηρίαν παρέχον: *justitiam id esse, quod non solum ceteras virtutes efficiat et proferat, sed etiam servet.* Similiter Ficinus vertit; *qua et innascerentur et innata perseverarent, quamdiu ipsum adest.* Verba vero ἕως ἂν ἐνῇ referenda ad πᾶσιν ἐκείνοις, ceteras virtutes. Stob. exhibet ἕωσπερ ἂν ᾖ. Mox Ald. Bas. 1. et 2. ὑποληφθέν. Ast.

ἡ[k] ἐν τοῖς ἄρχουσι φρόνησίς τε καὶ φυλακὴ[l] ἐνοῦσα, ἢ τοῦτο μάλιστα ἀγαθὴν αὐτὴν[m] ποιεῖ ἐνὸν καὶ ἐν παιδὶ[n] καὶ ἐν γυναικὶ καὶ δούλῳ[o] καὶ ἐλευθέρῳ[p] καὶ δημιουργῷ καὶ ἄρχοντι καὶ ἀρχομένῳ, ὅτι τὸ αὑτοῦ[q] ἕκαστος εἷς ὢν ἔπραττε καὶ οὐκ ἐπολυπραγμόνει. Δύσκριτον, ἔφη· πῶς δ' οὔ; Ἐνάμιλλον ἄρα, ὡς ἔοικε, πρὸς ἀρετὴν πόλεως τῇ τε σοφίᾳ αὐτῆς καὶ τῇ σωφροσύνῃ καὶ τῇ ἀνδρίᾳ ἡ τοῦ[r] ἕκαστον ἐν αὐτῇ τὰ αὑτοῦ πράττειν δύναμις. Καὶ μάλα,[s] ἔφη.[t] Οὐκοῦν δικαιοσύνην τό γε[u] τούτοις ἐνάμιλλον ἂν[v] εἰς ἀρετὴν πόλεως θείης; Παντάπασι μὲν οὖν. Σκόπει δὴ[w] καὶ τῇδε, εἰ οὕτω[x] δόξει. ἆρα τοῖς ἄρχουσιν[y] ἐν τῇ πόλει τὰς δίκας προστάξεις δικάζειν; Τί μήν; Ἦ[z] ἄλ-
III. i. 192. λου οὑτινοσοῦν[a] μᾶλλον ἐφιέμενοι δικάσουσιν[b] ἢ τούτου,[c] ὅπως ἂν ἕκαστοι μήτ' ἔχωσι τὰ ἀλλότρια[d] μήτε τῶν[e] αὑτῶν στέρωνται;[f] Οὔκ, ἀλλὰ τούτου. Ὡς δικαίου ὄντος; Ναί. Καὶ ταύτῃ[g] ἄρα πῃ ἡ τοῦ[h] οἰκείου τε καὶ[i] ἑαυτοῦ
II. 434. ἕξις τε καὶ πρᾶξις δικαιοσύνη[j] ἂν ὁμολογοῖτο. Ἔστι ταῦτα. Ἰδὲ[k] δὴ ἐὰν σοί,[l] ὅ περ ἐμοί, ξυνδοκῇ. τέκτων σκυτοτόμου ἐπιχειρῶν ἔργα[m] ἐργάζεσθαι ἢ σκυτοτόμος τέκτονος, ἢ τὰ ὄργανα μεταλαμβάνοντες τἀλλήλων[n] ἢ τιμάς, ἢ καὶ ὁ αὐτὸς ἐπιχειρῶν ἀμφότερα πράττειν, πάντα[o] τἆλλα μεταλλαττόμενα,[p] ἆρά σοι ἄν τι[q] δοκεῖ[r] μέγα[s] βλάψαι πόλιν; Οὐ πάνυ, ἔφη. Ἀλλ' ὅταν

κι
Ktm et pr Ξ.—[l] φυλακὴ Θ.—[m] αὐτὴν om pr Ξ.—[n] γυναικὶ καὶ ἐν παιδὶ Kq.—[o] καὶ δούλῳ ΑΠΚqtm : καὶ ἐν δούλῳ *ς.—[p] καὶ ἐλευθέρῳ ΑΠΦΚqr : καὶ ἐν ἐλευθέρῳ *ς.—[q] αὐτὸς v.—[r] τὸ Κ.—[s] μάλ' r.—[t] ἔφην Κ.—[u] τότε t, τέγε v.—[v] ἂν om Φtr.—[w] δὲ q.—[x] εἰ σαυτῶι γρ Α.—[y] πράττουσιν q.—[z] οἱ t.—[a] τινὸς οὖν ΑΘΠqm : τινὸς Κ.—[b] δικάζουσιν Φr.—[c] τοῦτο Atm.—[d] τἀλλότρια v.—[e] τὰ Κ, ἐπὶ τῶν t.—[f] στρέφωνται t.—[g] ταῦτα v.—[h] ποιητοῦ ς.—[i] καὶ ante ἑαυτοῦ om v.—[j] καὶ δικαιοσύνη ΘΠ.—[k] ἴδὲ Θ.—[l] σοι om q.—[m] ἔργα ἐπιχειρῶν Φr.—[n] ἀλλήλων Κ.—[o] πράτ-
α
τειν καὶ πάντα t, πράττειν ἢ πάντα τἆλλα τά γε τοιαῦτα q.—[p] μεταλλαττόμενος Ξ.—[q] ἄν τι post μέγα ponit Κ.—[r] δοκεῖ AKv : δοκῇ *ς.—[s] μέγαλα q, om Ξ.—[t] ἢ

ποιοίη] Optativum reposuimus propter præcedens δύσκριτον ἂν εἴη et sequens ἔπραττε. Vulgo ποιεῖ. Mox Cod. Reg. et Stob. καὶ δούλῳ καὶ ἐλευθέρῳ, omisso ἐν. Ast.

εἷς ὢν ἐν ἔπραττε] E Stobæo ἓν interposuimus. Sic etiam Ficin. *suum quisque unus unum egerit*—. Deinde pro ἢ τούτου Ald. Bas. 1. et Stob. ἢ τοῦτο. Ast.

ἡ τοῦ] Optimam hanc scripturam debemus cod. Reg. et Stob. apud quem ἡ abest. Vulgo pro πῃ ἡ τοῦ legitur ποιητοῦ. Mox ἰδὲ Attice pro ἴδε scripsimus. Ἀλλήλων pro τὰ ἀλλήλων cod. Reg. sed infra quoque legimus τὰ ἀλλήλων ὄργανα. Ast.

πάντα τἆλλα] Intell. καί, vid. nostra ad Sympos. p. 238. Ast.

δοκεῖ] Vulgo δοκῇ, solemni errore; δοκεῖ etiam cod. Reg. exhibet. Ast.

γε, οἶμαι, δημιουργὸς ὢν ἤ τις ἄλλος χρηματιστὴς φύσει, ἔπειτα[t] ἐπαιρόμενος ἢ πλούτῳ ἢ πλήθει ἢ ἰσχύϊ η ἄλλῳ τῳ[u] τοιούτῳ εἰς τὸ τοῦ πολεμικοῦ εἶδος ἐπιχειρῇ[v] ἰέναι, ἢ τῶν πολεμικῶν τις εἰς τὸ τοῦ βουλευτικοῦ καὶ φύλακος ἀνάξιος ὤν, καὶ τὰ ἀλλήλων οὗτοι[w] ὄργανα μεταλαμβάνωσι[x] καὶ τὰς τιμάς, ἢ ὅταν ὁ[y] αὐτὸς πάντα ταῦτα[z] ἅμα ἐπιχειρῇ πράττειν, τότε οἶμαι καὶ σοὶ δοκεῖν ταύτην τὴν τούτων[a] μεταβολὴν καὶ πολυπραγμοσύνην ὄλεθρον εἶναι τῇ πόλει. Παντάπασι *μὲν οὖν.* Ἡ *τριῶν*[b] *ἄρα ὄντων*[c] *γενῶν πολυπραγμοσύνη καὶ μεταβολὴ εἰς ἄλληλα μεγίστη τε*[d] *βλάβη τῇ πόλει καὶ*[e] *ὀρθότατ' ἂν προσαγορεύοιτο* III. i. 193.
μάλιστα κακουργία.[f] Κομιδῇ *μὲν οὖν.* Κακουργίαν *δὲ τὴν*[g] *μεγίστην τῆς ἑαυτοῦ πόλεως οὐκ ἀδικίαν φήσεις εἶναι;* Πῶς *δ' οὔ;* Τοῦτο *μὲν ἄρα ἀδικία.* [§. 11.] Πάλιν *δὲ ὧδε λέγωμεν·*[h] *χρηματιστικοῦ, ἐπικουρικοῦ, φυλακικοῦ γένους οἰκειοπραγία, ἑκάστου τούτων τὸ ἑαυτοῦ πράττοντος ἐν πόλει,*[i] *τοὐναντίον ἐκείνου δικαιοσύνη τ' ἂν εἴη καὶ τὴν πόλιν δικαίαν παρέχοι;*[j] Οὐκ *ἄλλῃ ἔμοιγε δοκεῖ, ἦ δ' ὅς, ἔχειν*[k] *ἢ ταύτῃ.* Μηδέν, *ἦν δ' ἐγώ πω*[l] *πάνυ παγίως αὐτὸ λέγωμεν, ἀλλ' ἐὰν μὲν ἡμῖν καὶ εἰς ἕνα ἕκαστον τῶν ἀνθρώπων ἰὸν τὸ εἶδος τοῦτο*[m] *ὁμολογῆται καὶ ἐκεῖ δικαιοσύνη*[n] *εἶναι, συγχωρησόμεθα*[o] *ἤδη· τί γὰρ καὶ ἐροῦμεν; εἰ δὲ μή, τότε ἄλλο τι σκεψόμεθα. νῦν δ' ἐκτελέσωμεν*[p] *τὴν σκέψιν ἣν ᾠήθημεν, εἰ ἐν μείζονί τινι τῶν ἐχόντων δικαιοσύνην πρότερον ἐκεῖνο*[q] *ἐπιχειρήσαιμεν θεάσασθαι, ῥᾷον ἂν ἐν*[r] *ἑνὶ ἀνθρώπῳ κατιδεῖν οἷόν ἐστι. καὶ ἔδοξε δὴ ἡμῖν τοῦτο*

Φr.—[u] τῳ om Ξlms.—[v] ἐπιχειροίη ΘΦr.—[w] ἤτοι K.—[x] λαμβάνωσι q.—[y] ὁ om Φ.—[z] ταῦτα πάντα Φ.—[a] τούτων τὴν ΘΦr.—[b] Ἡ τῶν τριῶν Ξs.—[c] ὄντων om q.—[d] τε καὶ Θ.—[e] καὶ om Φ.—[f] μάλιστα κακουργία ΑΘΠΚqlrmr, κακουργία μάλιστα Φ: *s om μάλιστα.—[g] τὴν om ΘΦr.—[h] λέγομεν ΞΠΚlrm.—[i] ἐν τῇ πόλει m.—[j] παρέχει Φ.—[k] ἦ δ' ὃς ἔχειν δοκεῖ r.—[l] πω ΑΘΠΦΚr, om r: που *s.—[m] τοῦτο ΑΘΠΦrr: τούτων *s.—[n] δικαιοσύνην Φ.—[o] ξ. r.—[p] ἐκτελέσομεν Π, ἐκτελέσωμεν

καὶ τὰς τιμὰς] Ald. Bas. 1. et 2. **καὶ** omittunt, Stephanus vero legit **ἢ τὰς τιμάς.** Ficinus vertit: *præmiaque permutant.* Ast.

§. 11. **λέγομεν**] Sic cod. Reg. Ald. Bas. 1. 2. et Ficinus, *sic dicimus.* Steph. sine causa correxit **λέγωμεν.** Ast.

μηδὲν—πῶ] E cod. Reg. rescripsimus **πῶ** pro **ποῦ**, Ficino adstipulante, ut qui verterit: *nondum omnino.* Ast.

εἶδος τοῦτο] Libri editi **τούτων**, quod in **τοῦτο** mutandum esse patet, idque præbet Cod. Ven. Mox pro **ἐκεῖνο** e cod. Reg. et Ven. reposuimus **ἐκεῖ**, ut supra: **καὶ ἐκεῖ δικαιοσύνη εἶναι**, et infra: **ὃ οὖν ἡμῖν ἐκεῖ ἐφάνη.** Ast.

εἶναι πόλις, καὶ οὕτως ᾠκίζομεν ὡς ἐδυνάμεθα ἀρίστην, εὖ εἰδότες ὅτι[s] ἔν γε τῇ ἀγαθῇ ἂν εἴη. ὃ οὖν ἡμῖν ἐκεῖ ἐφάνη, ἐπαναφέρωμεν[t] εἰς τὸν ἕνα. κἂν μὲν ὁμολογῆται, καλῶς ἕξει· ἐὰν δέ τι ἄλλο ἐν τῷ ἑνὶ ἐμφαίνηται, πάλιν ἐπανιόν-
III. i. 194. II. 435. τες ἐπὶ τὴν πόλιν βασανιοῦμεν. καὶ τάχα ἂν παρ' ἄλληλα σκοποῦντες καὶ τρίβοντες, ὥς περ ἐκ πυρείων, ἐκλάμψαι ποιήσαιμεν τὴν δικαιοσύνην, καὶ φανερὰν γενομένην βεβαιωσαίμεθ'[u] ἂν αὐτὴν παρ' ἡμῖν αὐτοῖς. Ἀλλ', ἔφη, καθ' ὁδόν[v] τε λέγεις καὶ ποιεῖν χρὴ οὕτως.

Ἆρ' οὖν, ἦν δ' ἐγώ, ὅ γε[w] ταὐτὸν ἄν τις προσείποι[x] μεῖζόν τε καὶ ἔλαττον, ἀνόμοιον τυγχάνει ὂν ταύτῃ ᾗ ταὐτὸν[y] προσαγορεύεται, ἢ ὅμοιον; Ὅμοιον, ἔφη. Καὶ δίκαιος ἄρα ἀνὴρ δικαίας πόλεως κατ' αὐτὸ τὸ τῆς δικαιοσύνης εἶδος οὐδὲν διοίσει,[z] ἀλλ' ὅμοιος ἔσται. Ὅμοιος, ἔφη. Ἀλλὰ μέντοι πόλις γε ἔδοξεν εἶναι δικαία, ὅτι[a] ἐν αὐτῇ[b] τριττὰ γένη φύσεων[c] ἐνόντα τὸ αὑτῶν ἕκαστον ἔπραττε· σώφρων δὲ αὖ καὶ ἀνδρεία καὶ σοφὴ διὰ τῶν αὐτῶν τούτων γενῶν ἄλλ'[d] ἄττα πάθη τε καὶ ἕξεις. Ἀληθῆ, ἔφη. Καὶ τὸν ἕνα ἄρα,[e] ὦ φίλε, οὕτως ἀξιώσομεν, τὰ αὐτὰ ταῦτα εἴδη ἐν τῇ αὑτοῦ ψυχῇ ἔχοντα, διὰ τὰ αὐτὰ[f] πάθη ἐκείνοις τῶν αὐτῶν ὀνομάτων ἀξιοῦσθαι[g] τῇ πόλει. Πᾶσα ἀνάγκη, ἔφη.[h] Εἰς[i] φαῦλόν γε αὖ,[j] ἦν δ' ἐγώ, ὦ θαυμάσιε, σκέμμα ἐμπεπτώκαμεν περὶ ψυχῆς,[k] εἴτε[l] ἔχει τὰ τρία εἴδη ταῦτα[m] ἐν αὐτῇ εἴτε μή.[n] Οὐ πάνυ μοι

μὲν v.—[q] ἐκεῖ ΠΦΚtvmr.—[r] ᾗ ἐν Κ, καὶ ἔν q.—[s] ὅτι ΑΘΠΦqtvm : ὡς *ς.—[t] ἐπαναφέρομεν v.—[u] βεβαιωσώμεθ' ΠΚtm, βεβαιωσώμεθ' v.—[v] κάθοδόν r.—[w] γε om v.—[x] προσείπη ΘΦr.—[y] ταυτὸ v.—[z] διοίσοι m.—[a] ὅτε ΑΞm.—[b] ἑαυτῇ Atm.—[c] φύσεως t.—[d] γενῶν ἄλλ' ΑΘΠΚqtm et pr Ξ : γενῶν καὶ οὐ κατ' ἄλλ' *ς.—[e] ἄρα om Θ.—[f] αὐτοῦ om Φ.—[g] ὀρθῶς ἀξιοῦσθαι ΘΠΦΚvmr.—[h] ἀνάγκη ἔφη πᾶσα Φ.—[i] εἰς ΑΘΠΦΚqtvmr : οὐκ εἰς *ς.—[j] αὖ post θαυμάσιε ponit Κ.—[k] περὶ τῆς ψυχῆς v.—

καὶ οὕτως] Bas. 2. καὶ ὄντως. Ast.

ἐκ πυρείων] πυρεῖα dicebantur ligna, quorum attritu ignis excitabatur, vid. Schol. ad Apoll. Rh. i. 1184. Gedick. ad Soph. Phil. 36. Bast. Epist. crit. p. 141. not. Ceterum expressit hunc locum Philo Jud. t. i. p. 683. τρίβοντες γὰρ ἀεὶ τοὺς περὶ ὁσιότητος λόγους, καθάπερ ἐκ πυρείων, τὸ θεοειδέστατον εὐσεβείας φέγγος ποιοῦσιν ἐκλάμπειν. Cf. Longin. xliv. 3. ubi v. Ruhnk. Et sane hæc, quam experimentalem dicimus, vera est ratio philosophandi, qua id, quod quærimus, sponte quasi emergit, veritasque ipsa nec præjudicata aliqua opinione nec consilio qualicunque a philosophia alieno corrumpitur. Illa erat Socratica et Platonica philosophandi ratio, hæc Sophistarum. Ast.

βεβαιωσαίμεθ' ἂν] Sic bene Stephanus correxit vulgatum βεβαιωσόμεθ' ἂν, quod Ald. Bas. 1. et 2. exhibent. Ast.

δοκοῦμεν, ἔφη, εἰς φαῦλον. ἴσως γάρ, ὦ Σώκρατες, τὸ λεγόμενον ἀληθές, ὅτι[o] χαλεπὰ τὰ καλά. Φαίνεται, ἦν δ' III. i. 195.
ἐγώ. καὶ εὖ γ' ἴσθι, ὦ Γλαύκων, ὡς ἡ[p] ἐμὴ[q] δόξα, ἀκριβῶς[r] μὲν τοῦτο ἐκ τοιούτων μεθόδων, οἵαις νῦν ἐν τοῖς λόγοις χρώμεθα, οὐ μή ποτε λάβωμεν· ἀλλὰ γὰρ μακροτέρα καὶ πλείων ὁδὸς ἡ[s] ἐπὶ τοῦτο ἄγουσα· ἴσως μέντοι τῶν γε[t] προειρημένων τε καὶ προεσκεμμένων ἀξίως. Οὐκοῦν ἀγαπητόν;[u] ἔφη· ἐμοὶ μὲν γὰρ ἔν γε τῷ παρόντι ἱκανῶς ἂν ἔχοι. Ἀλλὰ μέντοι, εἶπον, ἔμοιγε καὶ πάνυ ἐξαρκέσει. Μὴ τοίνυν ἀποκάμῃς, ἔφη, ἀλλὰ σκόπει. Ἆρ' οὖν ἡμῖν, ἦν δ' ἐγώ, πολλὴ ἀνάγκη ὁμολογεῖν ὅτι γε[v] τὰ αὐτὰ ἐν ἑκάστῳ ἔνεστιν ἡμῶν εἴδη τε καὶ ἤθη ἅ περ ἐν τῇ πόλει; οὐ γάρ που[w] ἄλλοθεν ἐκεῖσε ἀφῖκται. γελοῖον γὰρ ἂν εἴη εἴ τις οἰηθείη τὸ θυμοειδὲς μὴ ἐκ τῶν ἰδιωτῶν ἐν ταῖς πόλεσιν[x] ἐγγεγονέναι,[y] οἳ δὴ καὶ ἔχουσι ταύτην τὴν αἰτίαν, οἷον οἱ[z] κατὰ τὴν[a] Θρᾴκην τε καὶ Σκυθικὴν

[l] εἴτ' rr.—[m] ταῦτα om Φ, ante εἴδη ponit K.—[n] εἴτε καὶ μὴ r.—[o] ὅτι om K.—[p] ἡ om v.—[q] ἐμοὶ Θ.—[r] ἀκριβὲς r.—[s] ἡ ὁδὸς ἡ Φr.—[t] γε om v.—[u] ἀγαπητέον t.—[v] γε add ΑΘΠΦΚqtvmr.—[w] πω Φr.—[x] τῇ πόλει K.—[y] γεγονέναι ΑΘΠΚqr, κατα-

χαλεπὰ τὰ καλὰ] Sæpius hujus proverbii meminit Plato, ut Polit. vi. 11. καὶ τὸ λεγόμενον τὰ καλὰ τῷ ὄντι χαλεπά. Cratyl. 384. A. ubi v. Schol. Hipp. Maj. extr. Vid. Zenob. Proverb. Centur. vi. 38. et Lambin. ad Horat. t. ii. p. 86. E. Ast.

εὖ γ' ἴσθι] Laudat Galenus de Hippocr. et Platon. placit. v. p. 293. v. 18. t. i. Basil. ubi γ' deest et pro οἵαις νῦν legitur αἷς δὴ νῦν. Ficinus: *qualibus in præsente disputatione utimur.* Hinc οἵαις νῦν δὴ scribendum esse censeo. De verbis οὐ μή ποτε λάβωμεν vid. ad lib. i. 15. Post ἴσθι conjunctio ὅτι s. ὡς more omissa est (vid. nostra ad Phædr. p. 394). ὅτι, ὡς ἡ ἐμὴ δόξα (*ut mea fert opinio*, ut mihi videtur), ἀκριβῶς τοῦτο—οὐ μή ποτε λάβωμεν. Ast.

ἀλλὰ γὰρ] *Enimvero, namque.* Galenus ἄλλη. Ast.

ἀξίως] Int. λάβοιμεν ἄν: prægressæ disputationi convenienter (ἀξίως, *pro dignitate*) populari illa ratione, quam in superioribus secuti sumus (non via illa abstrusa severioris philosophiæ) id percipiemus. Igitur ut disputatio nostra sibi constet, melius erit, ratione illa disserendi dialogica, quam huc usque secuti sumus, id, quod quærimus, perscrutari. Ast.

ἆρ' οὖν] ἆρ' recte scribunt Ald. Bas. 1. et 2. quod Steph. sine causa in ἄρ' οὖν mutavit. Ἆρ' οὖν enim sæpenumero sic ponitur, ut ἆρα per se interroget (est enim affirmativum, respondens fere nostræ particulæ *doch*, i. e. *nicht wahr;* quocirca ut ἆρ' οὖν interrogans pro ἆρ' οὖν οὐ positum accipiatur, quod Heind. ad Cratyl. p. 19. et Schäfer. Melet. Crit. p. 89. statuunt, haud opus est), et frequenter ἆρα simpliciter hac vi ponitur, ut Soph. Antig. 1212. ἆρ' εἰμὶ μάντις; Cf. Œd. T. 822. Philo. 976. Eurip. Alcest. 341. 771. Quo fit, ut etiam extra interrogationem eadem affirmandi potestate usurpetur, ut optime Hermannus monuit ad Soph. Antig. 628. ed. min. Erf. Ast.

ἔχουσι τὴν αἰτίαν] Quibus illud (τὸ θυμοειδὲς) jure tribuitur, qui jure θυμοειδεῖς et dicuntur et habentur. Observanda hæc est locutionis αἰτίαν ἔχειν significatio. Scilicet αἰτίαν ἔχειν et αἰτιᾶσθαι dupliciter ponuntur; in malam partem αἰτίαν ἔχειν (*crimen habere, accu-*

καὶ σχεδόν τι κατὰ τὸν ἄνω τόπον, ἢ[b] τὸ φιλομαθές, ὃ δὴ περὶ[c] τὸν[d] παρ' ἡμῖν μάλιστ' ἄν τις αἰτιάσαιτο τόπον, ἢ τὸ
II. 436 φιλοχρήματον, ὃ[e] περί τούς τε Φοίνικας εἶναι καὶ τοὺς κατὰ Αἴγυπτον φαίη τις ἂν οὐχ ἥκιστα. Καὶ μάλα,[f] ἔφη. Τοῦτο μὲν δὴ οὕτως ἔχει,[g] ἦν δ' ἐγώ, καὶ οὐδὲν χα-
III. i. 196. λεπὸν γνῶναι. Οὐ δῆτα. [§. 12.] Τόδε δὲ[h] ἤδη χαλεπόν, εἰ τῷ αὐτῷ τούτῳ[i] ἕκαστα πράττομεν ἢ τρισὶν οὖσιν ἄλλο ἄλλῳ·[j] μανθάνομεν μὲν[k] ἑτέρῳ, θυμούμεθα δὲ ἄλλῳ τῶν ἐν ἡμῖν,[l] ἐπιθυμοῦμεν δ' αὖ τρίτῳ τινὶ τῶν περὶ τὴν τροφήν τε καὶ γέννησιν[m] ἡδονῶν καὶ ὅσα τούτων ἀδελφά, ἢ ὅλῃ τῇ ψυχῇ καθ' ἕκαστον αὐτῶν πράττομεν, ὅταν ὁρμήσωμεν. ταῦτ' ἔσται τὰ[n] χαλεπὰ διορίσασθαι ἀξίως

γεγονέναι v.—[z] ἡ ΘΦr.—[a] τὴν om K.—[b] ἢ...τόπον om Kq.—[c] περὶ om pr Ξ.—[d] τῶν...τόπων tm.—[e] τὸ ΘΠΦtmr.—[f] μάλ' r.—[g] ἔχειν K.—[h] τὸ δὲ δὴ Φr, τότε δὲ v.—[i] τούτων corr q.—[j] ἄλλο μὲν ἄλλῳ K et rc Π, ἄλλῳ μὲν ἄλλο Φ, ἄλλως μὲν ἄλλο r, ἄλλῳ ἄλλο καὶ q.—[k] μὲν om ΘΠΦKr.—[l] δὲ τῶν ἐν ἡμῖν θυμούμεθα Θr : δὲ om pr Ξ.—[m] γέννησιν ΑΘΠΦKqvr : γένεσιν *ς.—[n] τὰ om ΘΠΦKqr.—[o] τοὐναντία

sari, reprehendi, vid. nostra ad Phædr. p. 314.) dicitur is, in quem culpa confertur, qui culpæ obnoxius est; αἰτιᾶσθαι igitur est *culpam conferre, accusare*; in bonam vero partem αἰτίαν ἔχειν dicitur, in quem aliquid confertur, h. e. cui aliquid tribuitur s. adscribitur, de quo aliquid dici s. contendi potest. Sic Gorg. 503. B. δι' ὅντινα αἰτίαν ἔχουσιν 'Αθηναῖοι βελτίους γεγονέναι, *per quem Athenienses dicantur* s. censeantur *meliores facti esse*. Alcibiad. i. p. 119. A. εἰπὲ, ὅστις αἰτίαν ἔχει (*qui dici possit*, quem jure censere possimus) διὰ τὴν Περικλέους συνουσίαν σοφώτερος γεγονέναι. Sic et paulo post: ὃ δὴ περὶ τὸν παρ' ἡμῖν—τόπον ἄν τις αἰτιάσαιτο, i. e. quod (τὸ φιλομαθὲς) huic nostræ potissimum regioni jure quis tribuat. Polit. x. 3. p. 599. E. σὲ δὲ τίς αἰτιᾶται πόλις (*quænam civitas dicit*, contendit te—i. e. hoc tibi tribuit) νομοθέτην ἀγαθὸν γεγονέναι; Alia exempla vid. apud Casaubon. ad Athen. ix. 2. Wernsdorf. ad Himer. Sophist. p. 211. Valcken. ad Herodot. vi. 115. p. 492. Post ἢ τὸ φιλομαθὲς et φιλοχρήματον repetenda sunt μὴ ἐκ τῶν ἰδιωτῶν ἐν ταῖς πόλεσιν ἐγγεγονέναι. Ceterum memorabilis est hic Platonis locus. Quæ humanæ naturæ et civitatis elementa quasi sunt, τὸ θυμοειδὲς, τὸ ἐπιθυμητικὸν et τὸ σοφὸν, horum singula non solum in singulis hominibus, sed in singulis quoque gentibus eminent et apparent, ita ut, id quod in rerum natura positum est, τὸ θυμοειδὲς, in civitate τὸ ἐπικουρικὸν, e quo ἀνδρία virtus efflorescit, apud nationes septentrionales inprimis regnet, τὸ ἐπιθυμητικὸν (in civitate τὸ χρηματιστικὸν) apud gentes australes, ut quæ molli et inerti vitæ deditæ sint, et τὸ λογιστικὸν s. φιλομαθὲς in regione temperata, in qua vera humanitatis cultura floret.—Expressit hunc locum Dionys. art. rhetor. xi. §. 5. καὶ γὰρ ὁ Πλάτων φησὶ παγκάλως, ὅτι κατὰ τοὺς τοῦ οὐρανοῦ τόπους καὶ τῶν ἠθῶν αἱ κράσεις· καὶ διὰ τοῦτό τινας μὲν ἀνθρώπους εἶναί φησι πρὸς μαθήματα ὀξυτέρους, τοὺς περὶ τὴν Ἑλλάδα, τοὺς δὲ πρὸς ἀργυρισμὸν, τοὺς περὶ τὴν Φοινίκην καὶ Αἴγυπτον, ἄλλους πρὸς θυμὸν, ὅσοι τῶν βαρβάρων εἰσὶ πολέμοις ἀνακείμενοι. Ast.

Φοίνικας] Qui male hanc ob causam τὸ φιλοχρήματον audiebant, vid. Victor. Var. Lect. xii. 4. Perizon. ad Ælian. V. H. iv. 20. p. 289. Muncker. ad Anton. Liber. 39. p. 262. et Boissonad. ad Philostrat. Heroic. 4. (ubi φιλοχρήματοί τε καὶ τρῶκται Phœnices dicuntur) p. 286. Ast.

§. 12. ἄλλο ἄλλῳ] Cod. Reg. et Bas. 2. ἄλλο μὲν ἄλλῳ, μανθάνομεν ἑτέρῳ et χαλεπὰ omisso articulo τά. Ast.

λόγου. Καὶ ἐμοὶ δοκεῖ, ἔφη. Ὧδε τοίνυν ἐπιχειρῶμεν
αὐτὰ ὁρίζεσθαι, εἴτε τὰ αὐτὰ ἀλλήλοις εἴτε ἕτερά ἐστιν.
Πῶς; Δῆλον ὅτι ταὐτὸν τἀναντία[o] ποιεῖν ἢ πάσχειν κατὰ
ταὐτόν[p] γε καὶ πρὸς ταὐτὸν οὐκ ἐθελήσει ἅμα, ὥστε ἐάν[q]
που εὑρίσκωμεν ἐν αὐτοῖς ταῦτα γιγνόμενα, εἰσόμεθα ὅτι
οὐ ταὐτὸν ἦν ἀλλὰ πλείω. Εἶεν.[r] Σκόπει δὴ ὃ λέγω.
Λέγε, ἔφη. Ἑστάναι, εἶπον, καὶ κινεῖσθαι τὸ αὐτὸ ἅμα
κατὰ τὸ αὐτὸ[s] ἆρα δυνατόν; Οὐδαμῶς. Ἔτι τοίνυν
ἀκριβέστερον ὁμολογησώμεθα,[t] μή πῃ προϊόντες ἀμφισβη-
τήσωμεν. εἰ γάρ τις λέγοι[u] ἄνθρωπον ἑστηκότα, κινοῦντα
δὲ τὰς χεῖράς τε καὶ τὴν κεφαλήν, ὅτι ὁ[v] αὐτὸς ἕστηκέ τε
καὶ κινεῖται ἅμα, οὐκ ἄν, οἶμαι, ἀξιοῖμεν οὕτω λέγειν
δεῖν,[w] ἀλλ' ὅτι τὸ μέν τι αὐτοῦ ἕστηκε, τὸ δὲ κινεῖται.
οὐχ οὕτως; Οὕτως.[x] Οὐκοῦν καὶ εἰ[y] ἔτι μᾶλλον χαριεν- iii. i. 197.
τίζοιτο ὁ ταῦτα λέγων, κομψευόμενος ὡς οἵ γε[z] στρόβιλοι
ὅλοι[a] ἑστᾶσί τε ἅμα καὶ κινοῦνται, ὅταν ἐν τῷ αὐτῷ πή-
ξαντες τὸ κέντρον περιφέρωνται, ἢ εἰ[b] καὶ ἄλλο τι κύκλῳ
περιιὸν[c] ἐν τῇ αὐτῇ ἕδρᾳ τοῦτο δρᾷ, οὐκ ἂν ἀποδεχοίμεθα,[d]
ὡς οὐ κατὰ ταὐτὰ ἑαυτῶν[e] τὰ τοιαῦτα τότε μενόντων τε

Ξ, τἀναντία ταυτὸν Φr, ταναντία ταυτὸν ταναντία Θ.—[p] ταὐτά r.—[q] ἄν qrmr.—[r] καὶ q.—[s] ἅμα κατὰ τὸ αὐτὸ om K.—[t] ὁμολογησόμεθα ΞΦtmr.—[u] λέγοι ΑΘΞΠΦΚ qtmr : λέγει s.—[v] ὁ om ΘΠΦΚr.—[w] λέγειν οὕτω δὴ Φ : δὴ et r.—[x] οὕτω bis ΑΘΠ Φtrmr.—[y] εἰ καὶ r.—[z] τε t.—[a] ὅσο Φ, ὅσοι r.—[b] εἰ add q.—[c] περιὸν m.—[d] ἀπο-

ταυτὸν τἀναντία] Laudat Galenus quoad sententiam de Hippocrat. et Platon. decret. v. p. 293. v. 31. t. i. et ix. p. 341. v. 22. lib. v. *ἢ κατὰ ταυτόν τε* et lib. ix. *κἂν ταυτόν τε* scribitur, unde *τε* pro *γε* reposuimus. Ast.

ἆρα δυνατὸν] Apud Galen. scribitur *ἅμ' ἀδύνατον*. Ast.

διομολογησώμεθα] Ald. Bas. 1. et 2. *ὁμολογησόμεθα*, Galenus vero *διομολογησόμεθα*, unde *διομολογησώμεθα* reposuimus. Deinde Galen. *μή πως*. Ast.

λέγοι] E Cod. Reg. Venet. et Galen. recepimus pro *λέγει*. Ast.

τὸ μέν τι] Cod. Reg. et Galen. *τὸ μέντοι*. Ast.

οἵ γε στρόβιλοι] Galen. *οἵ τε στρόμβοι*; sic et in sua ipsius oratione p. 341. v. 46. *ἐν γὰρ τοῖς στρόμβοις δύναιτ' ἄν τις λέγειν τἀναντία* cet. v. 48. *ἕτερον μὲν εἶναι τὸ ἑστὸς τοῦ στρόμβου, ἕτερον δὲ τὸ περιφερόμενον, ὃ δὴ κύκλον προσηγόρευσεν αὐτός*. Sed *στρόμβος* et *στρόβιλος* ejusdem sunt et originis et significationis (*rhombus* s. turbo). Ceterum *στρόβιλος, στρόμβος, τροχὸς* s. *βέμβηξ*, *turbo*, lusus puerilis instrumentum dicebatur, quod flagello s. scutica percutientes agitabant. Aliud vero h. l. trochi genus intelligendum esse monet Meursius de ludis Græcorum in Gronov. Thesaur. ant. Græc. t. vii. p. 992. 'trochum videlicet cuspidem inferius habentem loco circumvoluto ejectum et in terra sic defixum: certamen erat, cujus trochus, sic ejectus, diutius verteretur.' Mox pro *αὐτῇ* Gal. *αὐτοῦ*, *δρᾷν* pro *δρᾷ* et *αὐτῶν* pro *ἑαυτῶν*. Deinde *τότε* deest in Galen. *φαίημεν* (Cod. Reg. *φαῖεν μὲν—καὶ ὅταν—εἰς δεξιὰ—ἀριστερὰ—πρόσθεν—ἐκκλίνει—περιφερόμενόν τε οὐδ' οὐδαμῇ ἑστάναι*. Ast.

καὶ φερομένων, ἀλλὰ φαῖμεν ἂν ἔχειν αὐτὰ εὐθύ τε καὶ περιφερὲς ἐν αὐτοῖς, καὶ κατὰ μὲν τὸ εὐθὺ ἑστάναι, οὐδαμῇ[f] γὰρ ἀποκλίνειν, κατὰ δὲ τὸ περιφερὲς κύκλῳ κινεῖσθαι· ὅταν δὲ τὴν εὐθυωρίαν ἢ[g] εἰς δεξιὰν[h] ἢ εἰς ἀριστερὰν[i] ἢ εἰς τὸ πρόσθεν[j] ἢ εἰς τὸ ὄπισθεν ἐγκλίνῃ[k] ἅμα περιφερόμενον, τότε οὐδαμῇ ἔστιν ἑστάναι. Καὶ ὀρθῶς γε,[l] ἔφη. Οὐδὲν ἄρα ἡμᾶς[m] τῶν τοιούτων λεγόμενον ἐκπλήξει, οὐδὲ[n] μᾶλλόν τι πείσει ὥς ποτέ τι ἂν τὸ αὐτὸ ὂν ἅμα[o] κατὰ τὸ αὐ-
II. 437. τὸ πρὸς τὸ αὐτὸ τἀναντία πάθοι ἢ καὶ εἴη[p] ἢ καὶ ποιήσειεν.[q] Οὔκουν ἐμέ γε,[r] ἔφη. Ἀλλ' ὅμως, ἦν δ' ἐγώ, ἵνα μὴ ἀναγκαζώμεθα πάσας τὰς τοιαύτας ἀμφισβητήσεις ἐπεξιόντες καὶ βεβαιούμενοι ὡς οὐκ ἀληθεῖς οὔσας μηκύνειν, ὑποθέμενοι ὡς τούτου οὕτως ἔχοντος εἰς[s] τὸ πρόσθεν προΐωμεν, ὁμολογήσαντες, ἐάν ποτε ἄλλῃ φανῇ ταῦτα ἢ ταύτῃ,
III. i. 198. πάντα ἡμῖν τὰ ἀπὸ τούτου ξυμβαίνοντα λελυμένα ἔσεσθαι. Ἀλλὰ χρή, ἔφη, ταῦτα ποιεῖν. [§. 13.] Ἆρ' οὖν, ἦν δ' ἐγώ, τὸ ἐπινεύειν τῷ ἀνανεύειν καὶ τὸ ἐφίεσθαί τινος λαβεῖν τῷ ἀπαρνεῖσθαι καὶ τὸ προσάγεσθαι τῷ ἀπωθεῖσθαι, πάντα[t] τὰ τοιαῦτα τῶν ἐναντίων ἀλλήλοις θείης εἴτε ποιημάτων εἴτε παθημάτων; οὐδὲν γὰρ ταύτῃ διοίσει. Ἀλλ', ἦ δ' ὅς, τῶν ἐναντίων. Τί οὖν; ἦν δ' ἐγώ· διψῆν καὶ πεινῆν[u] καὶ ὅλως τὰς ἐπιθυμίας, καὶ αὖ τὸ ἐθέλειν καὶ τὸ βούλεσθαι, οὐ[v] πάντα ταῦτα εἰς ἐκεῖνά ποι[w] ἂν[x] θείης τὰ

δεχώμεθα ΞΠΦΚtrmr.—[e] αὐτῶν v.—[f] οὐδαμοῦ Φr : rectius scripseris οὐδαμοῖ.—[g] ἢ καὶ Am.—[h] δεξιὰ qt.—[i] ἀριστερὰ qtr.—[j] πρόσθεν ΑΘΠΦrr : ἔμπροσθεν *ς.—[k] ἐκκλίνῃ Kv.—[l] γ' v.—[m] ἡμᾶς post ἄρα ponunt ΑΘΠΦΚqtrmr, post λεγόμενον *ς.—[n] οὐδὲν t.—[o] ὂν ἅμα ΑΘΠΦqtmr, ἂν ἅμα K : ἅμα ὂν *ς.—[p] ἢ καὶ εἴη add ΑΞΠΚq m et (omisso πάθοι) t.—[q] πείσειεν t.—[r] ἔμοιγε Θ, ἐμέγ' r.—[s] ὡς ΘΠΦΚr.—[t] ἀπωθεῖσθαι καὶ πάντα t.—[u] δίψην καὶ πείνην ΘΠΦr.—[v] καὶ Φ.—[w] πη ΘΦΚqr, om t.—

οὐδὲν ἄρα] Galen. et cod. Reg. *οὐδὲν ἄρα ἡμᾶς*. Paulo post Galen. *λεγόμενον* exhibet, quod haud dubie reponi debebat. Etiam Ficinus vertit: *nulla ex his objectionibus*. Ast.

ὥς ποτέ τι] Galen. *ὥς ποτέ τοί τι*. Mox *τὸ αὐτὸ ὂν ἅμα κατὰ τὸ αὐτὸ* Galenus. Ast.

ὑποθέμενοι ὡς τούτου] I. e. *ὑποθέμενοι τοῦτο οὕτως ἔχειν*, vid. ad lib. i. 1. Ast.

§. 13. *ἆρ' οὖν*] Laudat h. l. Galen. l. v. 33. usque ad *Πῶς γὰρ οὔ*, et l. vi. p. 298. v. 3. Ast.

τῶν ἐναντίων—θείης] De hoc verbi *τιθέναι* cum genitivo conjuncti usu vid. ad l. ii. 16. Ast.

εἴτε ποιημάτων, εἴτε παθημάτων] Galenus explicat *εἴτε ἐνεργείας εἴτε πάθη*. In præcedentibus apud Galen. *τὸ ἀπαργεῖσθαι* et *τὸ ἀπωθεῖσθαι* scriptum est. Ast.

πη ἂν] Pro *ποὶ* e Cod. Reg. reposuimus *πῇ*. Mox *νῦν δὴ λεχθέντα* e Galen. et Cod. Reg. recepimus; vulgo *δὴ* abest. Ast.

εἴδη τὰ νῦν δὴ[y] λεχθέντα; οἷον ἀεὶ τὴν τοῦ ἐπιθυμοῦντος ψυχὴν οὐχὶ ἤτοι ἐφίεσθαι φήσεις ἐκείνου οὗ ἂν ἐπιθυμῇ,[z] ἢ[a] προσάγεσθαι τοῦτο ὃ ἂν βούληταί[b] οἱ γενέσθαι, ἢ αὖ[c] καθ' ὅσον ἐθέλει[d] τί οἱ πορισθῆναι, ἐπινεύειν τοῦτο πρὸς αὑτὴν ὥς πέρ τινος ἐρωτῶντος,[e] ἐπορεγομένην αὐτοῦ τῆς γενέσεως; Ἔγωγε. Τί δέ;[f] τὸ ἀβουλεῖν καὶ μὴ ἐθέλειν μηδ' ἐπιθυμεῖν οὐκ εἰς τὸ ἀπωθεῖν καὶ ἀπελαύνειν ἀπ' αὐτῆς[g] καὶ εἰς ἅπαντα τἀναντία ἐκείνοις θήσομεν;[h] Πῶς γὰρ οὔ; Τούτων δὴ οὕτως ἐχόντων ἐπιθυμιῶν τι φήσομεν εἶναι εἶδος,[i] καὶ ἐναργεστάτας αὐτῶν τούτων, ἥν τε δίψαν καλοῦμεν καὶ ἣν πεῖναν;[j] Φήσομεν, ἦ δ' ὅς. Οὐκοῦν τὴν μὲν ποτοῦ, τὴν δὲ ἐδωδῆς; Ναί. Ἆρ' οὖν καθ' ὅσον δίψα ἐστί,

[x] ἂν om K.—[y] δὴ add ΑΘΠΦΚqrr.—[z] ἐπιθυμοῖ Kq.—[a] καὶ r.—[b] βούλοιτό Ξ.—[c] οὖν Φr.—[d] ἐθέλοι Θ.—[e] ἐρωτῶντος ΘΞΠΦq, ἐρῶντος AKtrm, ὁρῶντος ς.—[f] δαὶ Am.—[g] αὐτοῦ q.—[h] ἐκείνοις θήσομεν ΑΘΠΦΚqtrmr, θήσομεν ἐκείνοις Ξ: φήσομεν ἐκείνοις ς.—[i] φήσομεν ἐπιθυμιῶν τι εἶδος εἶναι Φ.—[j] πεῖναν K.—[k] πλέονος ΑΘΞΦΚ

ἀεὶ τὴν] Galen. *αὐτήν*. Mox Ald. Bas. 1. et 2. *εἴτοι* pro *ἤτοι*, et Galen. *φήσεις* pro *φύσει*. Ast.

ἐπιθυμῇ] Cod. Reg. *ἐπιθυμοῖ*. Galen. l. v. *ἐπιθυμεῖ*. Paulo post Galen. l. v. *γενέσθαι μοι* et l. vi. *βούληται γενέσθαι*; deinde *οὐ καθ' ὅσον* pro *καθόσον*—*ἢ* pro *οἱ* et *πορίζεσθαι* l. vi. Ast.

ὁρῶντος] In quodam vet. pro *ὁρῶντος* scriptum est *ἐρωτῶντος*. quæ lectio affertur et ex Galeno, lib. sexto de Dogm. Plat. et Hippocr. Ex libro autem sexto *ἐρῶντος*: quam lectionem et Fic. sequitur. Steph.

ἐρωτῶντος] Sic Bas. 2. et Galen. l. v. In Ald. Bas. 1. legitur *ὁρῶντος*, Ficinus vero *ἐρῶντος* legerit necesse est, quum vertat: *amantis more*, idque reperitur apud Galen. l. vi. Unice verum est *ἐρωτῶντος*; animus enim, quasi secum ipse colloquens, id affirmat et sibi ipse annuit (*ἐπινεύει πρὸς αὑτὴν*), tanquam alteri interroganti respondens. Ast.

φήσομεν] Magis placet, *καὶ εἰς ἅπαντα τοὐναντία θήσομεν*, ut apud Galenum. Talis usus verbi *τιθέναι* extat et p. 477. *ἢ εἰς τί γένος τίθης*; Steph.

θήσομεν] Sic cod. Reg. Ven. et Galen. In Ald. Bas. 1. *φήσομεν*, in Bas. 2. *φήσαμεν* comparet. Ast.

ἆρ' οὖν] Laudat hunc locum Athen. iii. p. 123. C. Locus admodum depravatus est. Statim offendit *που λέγωμεν*, *ἐπιθυμία*—*εἴη*, quod in *ἢ οὗ λέγομεν* (int. *ποτοῦ*) mutandum esse censeo. Similiter Ficinus vertit: *numquid, in quantum sitis est, alicujus præterea cupiditas est alterius, quam cujus nos dicimus, potus scilicet et sitis.* Deinde *Οἷον δίψα ἐστὶ* vitii manifesta sunt. Primum enim, ut sensum haberent verba, *οἷον* id esse deberet, quod *καθόσον*; deinde haud credibile est, in re a Socrate nondum perspicue exposita, alterum statim, quod Socrates interrogasset, affirmaturum esse. Accedit quod tunc sequentia *δίψα ἄρα γε*—et *ἢ ἐὰν* cet. quomodo inter se cohæreant, difficile est ad perspiciendum. Ne multus sim in re cuilibet per se patenti responsio illa *Οἷον δίψα ἐστὶ* ex mala interpunctione fluxit, quod Athenæus confirmat l. l. in cujus libris scriptum reperitur *εἴη, οἷον δίψα ἐστίν*. Verbis vero *οἷον δίψα ἐστὶ* pro responsione habitis, ea, quæ sequuntur, pro oratione Socratis sententiam uberius exponentis habita sunt, in quibus quidem quum oratio manca visa esset, apponebatur *δίψα ἄρα γε*. Locus igitur, ni fallor, ita constituendus: *Ἆρ' οὖν, καθόσον δίψα ἐστὶ, πλείονος ἄν τινος, ἢ οὗ λέγομεν, ἐπιθυμία ἐν τῇ ψυχῇ εἴη, οἷον δίψα ἐστὶ θερμοῦ ποτοῦ ἢ ψυχροῦ—πόματος· ἢ ἐὰν μέν τις θερμότης τῷ δίψει προσῇ—τοῦ ὀλίγου, αὐτὸ δὲ τὸ διψῆν—βρώματος*; In his *οἷον* est *velut*, *e. g.* et quæ sequuntur, exponunt, quomodo sitis non solius potus, sed etiam definiti alicujus potus cupiditas

III. i. 199. πλέονος[k] ἄν τινος ἢ οὗ[l] λέγομεν[m] ἐπιθυμία ἐν τῇ ψυχῇ εἴη;[n] οἷον δίψα ἐστὶ[o] δίψα ἆρά γε θερμοῦ ποτοῦ ἢ ψυχροῦ, ἢ πολλοῦ ἢ ὀλίγου, ἢ καὶ ἑνὶ λόγῳ[p] ποιοῦ τινὸς πώματος;[q] ἢ ἐὰν μέν[r] τις θερμότης τῷ δίψει προσῇ,[s] τὴν τοῦ ψυχροῦ ἐπιθυμίαν προσπαρέχοιτ' ἄν, ἐὰν δὲ ψυχρότης, τὴν τοῦ θερμοῦ; ἐὰν δὲ διὰ πλήθους παρουσίαν[t] πολλὴ ἡ δίψα ᾖ, τὴν τοῦ πολλοῦ παρέξεται,[u] ἐὰν δὲ ὀλίγη, τὴν τοῦ ὀλίγου; αὐτὸ δὲ τὸ διψῆν οὐ μή ποτε ἄλλου[v] γένηται ἐπιθυμία ἢ οὗ περ πέφυκεν, αὐτοῦ[w] πώματος,[x] καὶ αὖ τὸ πεινῆν βρώματος;[y] Οὕτως, ἔφη, αὐτή[z] γε ἡ ἐπιθυμία ἑκάστη αὐτοῦ μόνον[a] ἑκάστου οὗ πέφυκε, τοῦ δὲ τοίου[b] ἢ[c] τοίου τὰ
II. 438. προσγιγνόμενα. Μή τοί[d] τις, ἦν δ' ἐγώ, ἀσκέπτους ἡμᾶς ὄντας θορυβήσῃ, ὡς οὐδεὶς ποτοῦ ἐπιθυμεῖ ἀλλὰ χρηστοῦ ποτοῦ, καὶ οὐ[e] σίτου ἀλλὰ[f] χρηστοῦ σίτου. πάντες γὰρ ἄρα τῶν ἀγαθῶν ἐπιθυμοῦσιν· εἰ[g] οὖν ἡ δίψα ἐπιθυμία ἐστί, χρηστοῦ ἂν εἴη εἴτε[h] πώματος εἴτε ἄλλου ὅτου[i] ἐστὶν ἐπιθυμία, καὶ αἱ[j] ἄλλαι οὕτως. Ἴσως γὰρ ἄν,[k] ἔφη,

*tv*m*r* : πλείονος *s*.—[l] ἢ οὐ A, ἣ οὐ m, ἢ ποτοῦ *q*, ἢ ὀλίγου *t*, πότου ἢ ὀλίγου *v* : που *s.—[m] λέγομεν ΑΘΠΦΚ*q*m*r* : om *tv* : λέγωμεν *s.—[n] εἰ ἦι A.—[o] ἐστὶ : δίψα : ἆρά ΑΠΚ et pr Θ.—[p] libri ἐν ὀλίγῳ. conf. p. 201, 15.—[q] πώματος Π et pr A, πτώματος m : πόματος *s.—[r] μέ Φ.—[s] προσῇ ΑΠΚ*qtv*m, προση[είη] Ξ : προσείη *s*.—[t] παροῦσαν pr Θ.—[u] παράξεται *t*.—[v] ἄλλη Φ*r*.—[w] αὐτοῦ om ΘΦ*r*, ἂν τοῦ K, ὃν τοῦ *q*.—[x] πώματος pr ΑΠ, qui nusquam aliter : πόματος *s.—[y] πεινῆν τοῦ βρώματος[o] *q*.—[z] αὕτη m.—[a] μόνου Φ*qr*.—[b] τοιοῦ m et pr A.—[c] καὶ Θ.—[d] μήτι Θ.—[e] ἀλλὰ Φ.—[f] καὶ οὐ Φ.—[g] ἡ K.—[h] εἴτε ante πώματος om *v*.—[i] ὁτουοῦν *qv*.—[j] αἱ om *t*.—

esse possit. Ἦ est *an*, alterum interrogationis membrum exordiens, et siti definitæ, ut ita dicam, de qua in hoc orationis membro exponitur, sequens αὐτὸ τὸ διψῆν, sitis per se et in universum spectata, opponitur. Sententiarum nexus est: num sitis qua talis (i. e. in universum et per se spectata) plus appetit quam potum (e. g. potum calidum vel frigidum, non vero merum potum), an tunc, quando sitis certa quædam est, etiam certus quidam potus appetitur (v. c. frigidus potus, quando sitis cum calore conjuncta est), ipsa vero sitis (per se spectata) nihil præter ipsum potum appetit? Sic omnia perspicua sunt. Ast.

ἐν ὀλίγῳ] Invenitur et alia lectio aptior, ἑνὶ λόγῳ. Sic autem et in alio hujus operis loco verba illa pro his posita comperiuntur. At p. 439. A. recte, οὐδὲ ἑνὶ λόγῳ ποιοῦ τινός. Steph.

ἑνὶ λόγῳ] Sic ex Platonis codicibus Ms. pro ἐν ὀλίγῳ reposuit Schweigh. Cf. Cornar. Eclog. p. 10. et Fischer. ad Phædon. p. 408. Sic c. 14. ἑνὶ λόγῳ. Ast.

προσῇ] Hoc Schweigh. ex ed. Venet. Bas. et Ms. A. recepit, quum vulgo legeretur προσείη. Etiam Cod. Reg. et Ven. Platonici προσῇ præstant. Ast.

πόματος] Schweigh. ex ed. Venet. Bas. et Ms. A. scripsit πώματος. Mox Athen. προσπαρέχοι pro προσπαρέχοιτ'. Ast.

αὐτοῦ πόματος] αὐτοῦ est *solius* s. per se, ut αὐτὸ δικαιοσύνη. Mox Ald. Bas. 1. et 2. αὐτὸ πεινῆν. Ast.

τὰ προσγιγνόμενα] Quæ *accidentia* dicimus. Ast.

δοκοῖ[l] τι λέγειν ὁ ταῦτα λέγων. Ἀλλὰ μέντοι, ἦν δ' ἐγώ, ὅσα γ' ἐστὶ τοιαῦτα οἷα εἶναί του,[m] τὰ μὲν ποιὰ[n] ἄττα ποιοῦ τινός ἐστιν, ὡς ἐμοὶ δοκεῖ, τὰ δ' αὐτὰ ἕκαστα αὐτοῦ[o] ἑκάστου μόνον.[p] Οὐκ ἔμαθον, ἔφη. Οὐκ ἔμαθες, ἔφην, ὅτι τὸ μεῖζον τοιοῦτόν ἐστιν οἷον τινὸς εἶναι μεῖζον; Πάνυ III. i. 200.
γε. Οὐκοῦν τοῦ ἐλάττονος; Ναί. Τὸ δέ γε πολὺ μεῖζον πολὺ ἐλάττονος. ἦ[q] γάρ; Ναί. Ἆρ' οὖν καὶ τὸ ποτὲ μεῖζον ποτὲ ἐλάττονος, καὶ τὸ ἐσόμενον μεῖζον ἐσομένου ἐλάττονος; Ἀλλὰ τί μήν; ἦ δ' ὅς. Καὶ τὰ πλείω δὴ πρὸς τὰ ἐλάττω καὶ τὰ[r] διπλάσια πρὸς τὰ ἡμίσεα καὶ πάντα τὰ τοιαῦτα, καὶ αὖ βαρύτερα πρὸς κουφότερα[s] καὶ θάττω πρὸς βραδύτερα,[t] καὶ ἔτι γε τὰ θερμὰ πρὸς τὰ ψυχρὰ καὶ πάντα τὰ τούτοις ὅμοια ἆρ' οὐχ οὕτως ἔχει; Πάνυ μὲν οὖν. Τί δὲ[u] τὰ περὶ τὰς ἐπιστήμας; οὐχ ὁ αὐτὸς[v] τρόπος; ἐπιστήμη μὲν αὐτὴ[w] μαθήματος αὐτοῦ[x] ἐπιστήμη ἐστὶν ἢ ὅτου δεῖ[y] θεῖναι τὴν ἐπιστήμην, ἐπιστήμη δέ τις καὶ ποιά τις ποιοῦ τινὸς καὶ τινός. λέγω δὲ τὸ[z] τοιόνδε· οὐκ ἐπειδὴ οἰκίας[a] ἐργασίας ἐπιστήμη ἐγένετο, διήνεγκε τῶν ἄλλων ἐπιστημῶν, ὥστε οἰκοδομικὴ[b] κληθῆναι; Τί μήν; Ἆρ' οὐ τῷ[c] ποιά τις εἶναι, οἵα ἑτέρα οὐδεμία τῶν ἄλλων; Ναί. Οὐκοῦν ἐπειδὴ ποιοῦ τινός, καὶ αὐτὴ ποιά τις ἐγένετο; καὶ αἱ ἄλλαι οὕτω τέχναι τε καὶ ἐπιστῆμαι; Ἔστιν οὕτως. [§. 14.] Τοῦτο τοίνυν, ἦν δ' ἐγώ, φάθι με τότε βούλεσθαι λέγειν, εἰ ἄρα νῦν ἔμαθες, ὅτι ὅσα ἐστὶν οἷα εἶναί του,[d] αὐτὰ μὲν μόνα αὐτῶν μόνων ἐστί, τῶν[e] δὲ III. i. 201.
ποιῶν τινῶν ποιὰ[f] ἄττα. καὶ οὔ τι[g] λέγω ὡς οἵων[h] ἂν ᾖ, τοιαῦτα καὶ ἔστιν, ὡς ἄρα καὶ τῶν ὑγιεινῶν καὶ νοσωδῶν[i] ἡ ἐπιστήμη ὑγιεινὴ καὶ νοσώδης καὶ τῶν κακῶν καὶ τῶν[j]

οἱ

[k] ἂν om m.—[l] δοκοίη Φ, δοκῇ Θ, δοκεῖ Ξmr, δοκει l.—[m] του om r.—[n] ποι' r.—[o] αὐτοῦ ΛΘΞΠΦΚq/rmr · ἐκ τοῦ *s.—[p] μόνου q.—[q] ἦ...ἐσομένου ἐλάττονος om r.—[r] τὰ ante διπλάσια om r.—[s] πρὸς τὰ κουφότερα ΘΦr, καὶ τὰ κουφότερα l.—[t] πρὸς βραδύτερα Κ, πρὸς βαρύτερα r: πρὸς τὰ βραδύτερα *s.—[u] δαὶ Am.—[v] αὐτὸς m.—[w] αὐτὴ om l, post μαθήματος ponunt Φr.—[x] αὐτ' Φr et pr Θ.—[y] δὴ δεῖ Am.—[z] τὸ om K.—[a] οἰκείας ΛΘΙΚ/mr, οἰκείας Γ.—[b] οἰκομιδὴ m.—[c] οὐν οὕτω Φr.—[d] τούτου m.—[e] τὸ t.—[f] ποι' v.—[g] οὔτι AΠqivr, ὅτι v: οὗτοι *s.—[h] οἷον tm.—[j] καὶ τῶν

αὐτοῦ ἑκάστου] Sic Cod. Reg. ut Ficinus vertit: *ipsius cujusque*. Libri editi ἐκ τοῦ ἑκάστου. Paulo ante pro δοκοῖ correximus δοκεῖ. Ast.

πρὸς βραδύτερα] Cum Cod. Reg. articulum τὰ ante βραδύτερα delevimus. Ast.

ἀγαθῶν κακὴ καὶ ἀγαθή· ἀλλ' ἐπειδὴ οὐκ αὐτοῦ[k] οὗ περ[l] ἐπιστήμη ἐστὶν ἐγένετο ἐπιστήμη, ἀλλὰ ποιοῦ τινός, τοῦτο δ' ἦν ὑγιεινὸν καὶ νοσῶδες, ποιὰ δή τις συνέβη[m] καὶ αὐτὴ γενέσθαι, καὶ τοῦτο αὐτὴν ἐποίησε μηκέτι ἐπιστήμην ἁπλῶς καλεῖσθαι, ἀλλὰ τοῦ ποιοῦ τινὸς προσγενομένου ἰατρικήν. Ἔμαθον, ἔφη, καί μοι δοκεῖ οὕτως ἔχειν. Τὸ δὲ δὴ δίψος,[n]
II. 439. ἦν δ' ἐγώ, οὐ τούτων[o] θήσεις τῶν τινὸς εἶναι τοῦτο ὅ πέρ ἐστιν; ἔστι[p] δὲ δή που δίψος; Ἔγωγε,[q] ἦ δ' ὅς, πώματός γε. Οὐκοῦν ποιοῦ μέν τινος πώματος ποιόν τι καὶ δίψος; δίψος δ' οὖν[r] αὐτὸ οὔτε πολλοῦ οὔτε ὀλίγου, οὔτε ἀγαθοῦ οὔτε κακοῦ, οὐδὲ ἑνὶ[s] λόγῳ ποιοῦ τινός, ἀλλ' αὐτοῦ[t] πώματος μόνον αὐτὸ[u] δίψος πέφυκεν. Παντάπασι μὲν οὖν. Τοῦ διψῶντος ἄρα ἡ ψυχὴ καθ' ὅσον διψῇ, οὐκ ἄλλο τι βούλεται ἢ πιεῖν καὶ τούτου ὀρέγεται καὶ ἐπὶ τοῦτο[v] ὁρμᾷ. Δῆλον δή. Οὐκοῦν εἴ ποτέ τι[w] αὐτὴν ἀνθέλκει[x] διψῶσαν, ἕτερον ἄν τι ἐν αὐτῇ εἴη αὐτοῦ τοῦ διψῶντος καὶ
III. i. 202. ἄγοντας, ὥς περ θηρίον,[y] ἐπὶ τὸ πιεῖν; οὐ γὰρ δή, φαμέν,

νοσωδῶν K.—[j] τῶν om K.—[k] αὐτὴ Φr.—[l] περ om K.—[m] ξ. v.—[n] δῖψος Aq et pr K, qui ita solent.—[o] τοῦτο K.—[p] ἔστι...δίψος] καὶ ἔστι δήπου τὸ δῖψος δῖψός του q.—[q] ἔγωγε...καὶ δίψος om t.—[r] αὖ Kq.—[s] οὐδενὶ ΑΘΠΦ, οὐδὲ ἐν ἑνὶ t.—[t] οὖν τοῦ v, τοῦ r.—[u] αὐτοῦ Φr.—[v] τούτου Θ.—[w] τι ὁ λόγος Ξtm.—[x] καθέλκει ΘΠΦKr,

§. 14. *ἔστι δὲ δήπου δίψος*] Absurda hæc sunt, quasi quæri possit, an sitis revera sit. Scribendum: Ἔστι δὲ δήπου δίψος, ἦ δ' ὅς, πόματός γε: *sane est sitis* (int. in eorum numero, quæ alicujus esse dicuntur), *et quidem potus* (ad potum refertur s. potus cupiditas est). Ast.

καὶ δίψος] Post hæc verba καὶ δίψος ex quodam vet. adduntur hæc, οὐ δῆτα. Steph.

ναί. Δίψος δ' αὖ] Vulgo καὶ δίψος; δίψος δ' οὖν αὐτό. Bas. 1. et 2. vero: καὶ δίψος: Δίψος cet. Δίψος δ' οὖν αὐτὸ verbo esse Socratis apparet. Quocirca ante Δίψος responsio affirmativa desideratur, Ναὶ vel Πάνυ γε; nos illud reposuimus. Cornar. inseri volebat Οὐ δῆτα, quod esse deberet Πῶς οὐ δῆτα. Pro οὖν e Cod. Reg. reposuimus αὖ: opponitur enim δίψος αὐτὸ siti *qualicunque*. Ast.

μόνον αὐτὸ δίψος] μόνον etsi crebro cum αὐτὸ connectitur (v. Bos. Ellips. Gr. Ling. p. 308. ed. Schäf. Toup. ad Longin. Fragm. v.) tamen h. l. ad αὐτοῦ πόματος referendum est. Ast.

τοῦ διψῶντος ἄρα] Excitat h. l. Galenus lib. laud. p. 294. v. 31. usque ad ἑταῖρον, et scribit ἄρα τοῦ διψῶντος ἡ ψυχὴ, καθ' ὅσον δὴ διψεῖ. Ast.

ἀνθέλκει] Legitur etiam εἴποτέ τι καθέλκει αὐτήν. Steph.

ἀνθέλκει] Cod. Reg. et Bas. 2. καθέλκει. Sententiam hanc uberius exposuit Galenus de Hippocrat. et Platon. Decret. v. p. 293. 294. t. i. ed. Bas. Ast.

ἕτερον ἄν τι] Ald. Bas. 1. et 2. τίς. Sed Ficinus quoque: *aliud quiddam erit*. Ast.

ἄγοντος, ὥσπερ θηρίον] Ficinus hæc ita vertit ac si legerit ἀγομένου, ὥσπερ θηρίου: *quasi bestia quædam ad bibendum impellitur*. Sed explicanda hæc ita sunt: καὶ ἄγοντος (αὐτὴν), ὥσπερ θηρίον: quasi belluam agat, h. e. sicut bellua ab instinctu impellitur. Ast.

φαμὲν] Galen. φαίημεν. Mox construe: τὸ αὐτὸ τῷ αὐτῷ ἑαυτοῦ, *idem eadem suimet ipsius parte*. Ast.

τό γε αὐτὸ τῷ αὐτῷ[z] ἑαυτοῦ περὶ τὸ αὐτὸ ἅμα τἀναντία πράττοι.[a] Οὐ γὰρ οὖν. Ὥς πέρ γε, οἶμαι, τοῦ τοξότου οὐ καλῶς ἔχει λέγειν, ὅτι αὐτοῦ ἅμα αἱ χεῖρες τὸ τόξον ἀπωθοῦνταί τε καὶ προσέλκονται, ἀλλ' ὅτι ἄλλη μὲν ἡ ἀπωθοῦσα χείρ, ἑτέρα[b] δὲ ἡ προσαγομένη. Παντάπασι μὲν οὖν, ἔφη. Πότερον δὴ[c] φῶμέν τινας ἔστιν ὅτε διψῶντας οὐκ ἐθέλειν πιεῖν; Καὶ μάλα[d] γ', ἔφη, πολλοὺς καὶ πολλάκις. Τί οὖν, ἔφην ἐγώ, φαίη τις ἂν τούτων πέρι; οὐκ ἐνεῖναι μὲν ἐν τῇ ψυχῇ αὐτῶν τὸ κελεῦον, ἐνεῖναι δὲ τὸ κωλῦον πιεῖν, ἄλλο ὂν καὶ κρατοῦν[e] τοῦ κελεύοντος; Ἔμοιγε,[f] ἔφη, δοκεῖ. Ἆρ' οὖν οὐ τὸ μὲν κωλῦον τὰ τοιαῦτα ἐγγίγνεται, ὅταν ἐγγένηται, ἐκ λογισμοῦ, τὰ δὲ ἄγοντα καὶ ἕλκοντα[g] διὰ παθημάτων τε καὶ νοσημάτων παραγίγνεται; Φαίνεται. Οὐ δὴ ἀλόγως, ἦν δ' ἐγώ, ἀξιώσομεν αὐτὰ διττά τε καὶ ἕτερα ἀλλήλων εἶναι, τὸ μὲν ᾧ λογίζεται, λογιστικὸν προσαγορεύοντες τῆς ψυχῆς,[h] τὸ δὲ[i] ᾧ ἐρᾷ τε καὶ πεινῇ καὶ διψῇ καὶ περὶ τὰς ἄλλας ἐπιθυμίας ἐπτόηται, ἀλόγιστόν τε[j] καὶ ἐπιθυμητικόν,[k] πληρώσεών τινων καὶ ἡδονῶν ἑταῖρον.[l] Οὐκ, ἀλλ' εἰκότως, ἔφη, ἡγοίμεθ'[m] ἂν οὕτως. Ταῦτα μὲν τοίνυν, ἦν δ' ἐγώ, δύο[n] ἡμῖν ὡρίσθω III. i. 203.
εἴδη ἐν[o] ψυχῇ ἐνόντα· τὸ δὲ δὴ[p] τοῦ θυμοῦ καὶ ᾧ[q] θυμούμεθα, πότερον τρίτον ἢ τούτων ποτέρῳ[r] ἂν εἴη ὁμοφυές;

ἀφέλκει q.—[y] θηρίου ΑΘΠΦr.—[z] τό γε αὐτὸ τῶι αὐτῶι ΑΘΞΠΦΚqtvmr : τῷ γε αὐτῷ τὸ αὐτὸ s.—[a] πράττειν t.—[b] ἄλλη Φ.—[c] πότερον δὴ ΑΘΠΦΚqtvmr : πότερον δὲ δὴ *s.—[d] μάλ' ΘΠΦΚqvr : μάλα γ' *s.—[e] κρατοῦντα t.—[f] ἔμοιγ' v.—[g] ἄττοντα Φr.—[h] τὴν ψυχὴν Φr.—[i] δ' v.—[j] τι r.—[k] ἐπιθυμητικῶν m.—[l] ἕτερον ΑΘ.—[m] ἡγήμεθ' Θ.—[n] δύω r.—[o] ἐν τῇ Φt.—[p] δὴ add ΑΘΞΠΦΚqtvmr.—[q] ᾧ om v.—

πράττει] Vulgo πράττοι, Galen. vero πράττειν, unde πράττει rescripsimus. Ast.

τοῦ τοξότου] Vide annon scribendum sit, περὶ τοῦ τοξότου. Alioqui dicendum fuerit omnino vacare αὐτοῦ: ut perinde sit ac si dictum esset οὐ καλῶς ἔχει λέγειν ὅτι τοῦ τοξότου ἅμα αἱ χεῖρες etc. Steph. Sed genitivus partitionis sæpenumero sic absolute ponitur; idem igitur est ac si scriptum sit: τοῦτο τοῦ τοξότου. Ast.

πότερον δὲ δὴ] A cod. Reg. et Galen. abest δὲ, fortasse recte. Etiam Ficinus simpliciter vertit: *faleremurne esse aliquos, qui, quum sitiant, nonnunquam bibere nolint?* Ast.

ἔστιν ὅτε] ἔστιν ὅτε et ἔστιν οἷ ita interponi solent, ut Phædon. p. 253. Fisch. καὶ τἄλλα ἔστιν ὅτε καὶ οἷς. Alcibiad. ii. c. 6. ἔστιν ὧν—ἔστιν οἷς. Gregor. Naz. Orat. i. p. 9. B. ἔστιν ὅτε καὶ ἐφ' ὧν χρήσεται. Ast.

ἐνεῖναι δὲ] Galen. εἶναι. Mox τὸ κρατοῦν—ἐγγίγνεσθαι—ἐκ τοῦ λογισμοῦ. Ast.

ὅταν ἐγγένηται] Vid. nostra ad Phædr. p. 339. Mox vice δύο ἡμῖν, Galen. μοί. Ast.

ποτέρῳ] *Alterutri*, vid. Heind. ad Charm. p. 103. et ad Theæt. §. 8. Ceterum de tribus his animi partibus

Ἴσως, ἔφη, τῷ ἑτέρῳ,[s] τῷ ἐπιθυμητικῷ. Ἀλλ', ἦν δ' ἐγώ,
ποτὲ ἀκούσας τι πιστεύω τούτῳ,[t] ὡς ἄρα Λεόντιος ὁ Ἀγ-
λαΐωνος[u] ἀνιὼν ἐκ Πειραιῶς[v] ὑπὸ τὸ βόρειον τεῖχος ἐκτός,
αἰσθανόμενος[w] νεκροὺς[x] παρὰ τῷ δημίῳ κειμένους, ἅμα μὲν
ἰδεῖν ἐπιθυμοῖ,[y] ἅμα δ' αὖ[z] δυσχεραίνοι καὶ ἀποτρέποι ἑαυ-
II. 440. τόν, καὶ τέως μὲν[a] μάχοιτό τε καὶ παρακαλύπτοιτο,
κρατούμενος δ' οὖν ὑπὸ τῆς ἐπιθυμίας, διελκύσας τοὺς
ὀφθαλμούς, προσδραμὼν πρὸς τοὺς νεκρούς, ἰδοὺ ὑμῖν,[b]
ἔφη, ὦ[c] κακοδαίμονες, ἐμπλήσθητε τοῦ καλοῦ θεάματος.
Ἤκουσα, ἔφη, καὶ αὐτός. Οὗτος[d] μέντοι, ἔφην, ὁ λόγος
σημαίνει τὸν θυμὸν[e] πολεμεῖν ἐνίοτε ταῖς ἐπιθυμίαις ὡς
ἄλλο[f] ὂν[g] ἄλλῳ. Σημαίνει γάρ, ἔφη. [§. 15.] Οὐκ-
οῦν[h] καὶ ἄλλοθι, ἔφην, πολλαχοῦ αἰσθανόμεθα,[i] ὅταν βιά-
ζωνταί τινα παρὰ τὸν λογισμὸν ἐπιθυμίαι, λοιδοροῦντά τε
αὑτὸν καὶ θυμούμενον τῷ βιαζομένῳ ἐν αὑτῷ, καὶ ὥσπερ
δυοῖν στασιαζόντοιν ξύμμαχον τῷ λόγῳ γιγνόμενον[k] τὸν
θυμὸν τοῦ τοιούτου; ταῖς δ' ἐπιθυμίαις αὐτὸν κοινωνήσαν-
τα[l] αἱροῦντος[m] λόγου μὴ δεῖν[n] ἄν τι πράττειν,[o] οἶμαί σε[p]

[r] ὁποτέρῳ q.—[s] τῷ δ' ἑτ. v.—[t] τοῦτο vm.—[u] ἀγαλλίωνος v.—[v] πειραιῶς K : πει-
νο νεκροὺς
ραιέως *ς.—[w] αἰσθόμενος Av, αἰσθάμενος Π.—[x] ἐχθροὺς Φ, ἐχθροὺς r. δημίῳ ΑΘΞΠ
ΦKqvmr : δημείῳ *ς.—[y] ἐπιθυμεῖ...δυσχεραίνει...ἀποτρέπει Φr.—[z] αὖ om ΘΠΦKq.
ο
—[a] μὲν om ΑΦΘΠKqvr.—[b] ὑμεῖς q.—[c] ὦ om ΘΠΦKqr.—[d] οὕτως r.—[e] τὸν θυμὸν
q, τὴν ἀρχὴν K : τὴν ὀργὴν *ς.—[f] ἄλλοτι q.—[g] ὧν Ξ.—[h] οὐκοῦν...ἔφην om r et
(servato καὶ) Φ.—[i] αἰσθανόμεθα πολλαχοῦ Φ.—[k] γενόμενον K.—[l] κοινωνήσοντα Φ
ουν αἱ
mr, κοινωνήσοντα Θ.—[m] ἐρουντος Θ.—[n] μὴ δεῖν ΑΘΦKqvmr : μηδὲν *ς.—[o] ἄν τι
πράττειν q : ἀντιπράττειν *ς.—[p] οἶμαί σε ΑΠΦKqvmr et pr Θ : οἶμαι δέ σε *ς.—

vel viribus vide quæ disseruit Galenus in Hippocrat. et Platon. Decret. v. p. 293. et Morgenstern. in Commentat. p. 100. Ast.

τούτῳ] Galen. *τοῦτο* (*hoc verum esse credo*), quod haud scio an præferri debeat. Ast.

Πειραιέως] Attice scribendum est Πειραιῶς, ut apud Thucyd. ii. 93. et Xenoph. Hist. Gr. ii. 2. 3. Ast.

ἐκτὸς] Galen. *ἐντός*. Mox Cod. Reg. et Galen. *ἅμα δέ*. Ast.

κρατούμενος δ' αὖ] Hoc e Galeno rescripsimus pro *κρατούμενος δ' οὖν*. Ast.

διελκύσας] *Diducens, dilatans*, cui opponitur *ξυμπιέζειν*, ut apud Xenoph. Mem. Soc. iii. 10. §. 7. *καὶ τὰ συμπιεζόμενα καὶ τὰ διελκόμενα*. Reliqua quæ diverse leguntur apud Galenum, operæ haud pretium est memorare. Ast.

§. 15. *πολλαχοῦ*] Galen. *πολλάκις*. Ast.

αἱροῦντος λόγου] Notissimum est illud *αἱρεῖ λόγος, ratio evincit, persuadet, jubet*, ut Polit. x. 8. p. 607. B. Parmen. 141. D. Crit. p. 191. ed. Fisch. Clitoph. 407. D. Cf. Gataker. ad M. Antonin. iv. §. 24. p. 182. Dorvill. ad Charit. p. 645. Αἱρεῖν est enim *evincere, convincere* vel *persuadere*, vid. Wyttenbach. ad Plutarch. de S. N. V. p. 8. Ast.

οἶμαί σε] Vulgo post *ἀντιπράττειν* plene interpungitur, et post *οἶμαι* particula δὲ interposita reperitur, quam cum

οὐκ ἂν φάναι γενομένου ποτὲ ἐν σεαυτῷ[q] τοῦ τοιούτου αἰσθέσθαι,[r] οἶμαι δ'[s] οὐδ' ἐν ἄλλῳ. Οὐ μὰ τὸν Δία, ἔφη. Τί δέ;[t] ἦν δ' ἐγώ· ὅταν τις οἴηται ἀδικεῖν, οὐχ ὅσῳ ἂν γενναιότερος ᾖ, τοσούτῳ ἧττον δύναται ὀργίζεσθαι καὶ πεινῶν καὶ ῥιγῶν καὶ ἄλλο ὁτιοῦν τῶν τοιούτων πάσχων ὑπ' ἐκείνου ὃν ἂν οἴηται δικαίως ταῦτα δρᾶν, καὶ ὃ λέγω, οὐκ ἐθέλει πρὸς τοῦτον αὐτοῦ[u] ἐγείρεσθαι ὁ θυμός; Ἀληθῆ, ἔφη. Τί δέ;[v] ὅταν ἀδικεῖσθαί τις ἡγῆται, οὐκ ἐν τούτῳ[w] ζεῖ τε[x] καὶ χαλεπαίνει καὶ ξυμμαχεῖ τῷ δοκοῦντι δικαίῳ καὶ διὰ τὸ[y] πεινῆν καὶ διὰ τὸ ῥιγοῦν καὶ πάντα τὰ τοιαῦτα πάσχειν,[z] καὶ[a] ὑπομένων νικᾷ, καὶ οὐ λήγει τῶν γενναίων, πρὶν ἂν ἢ διαπράξηται ἢ τελευτήσῃ ἢ ὥς περ κύων ὑπὸ νομέως ὑπὸ τοῦ λόγου τοῦ παρ' αὐτῷ ἀνακληθεὶς[b] πραϋνθῇ; Πάνυ μὲν οὖν, ἔφη, ἔοικε[c] τούτῳ[d] ᾧ λέγεις· καίτοι γε ἐν τῇ ἡμετέρᾳ πόλει τοὺς ἐπικούρους ὥς περ κύνας ἐθέμεθα ὑπηκόους τῶν ἀρχόντων ὥς περ ποιμένων πόλεως. Καλῶς γάρ, ἦν δ' ἐγώ, νοεῖς ὃ βούλομαι λέγειν. ἀλλ' ἦ[e] III. i. 204.

σε
[q] ἐν αὐτῷ Θ, ἐν ἑαυτῷ ΠΦΚrmr.—[r] αἴσθεσθαι ΑΘΠ, ἐσθέσθαι m, ἔσεσθαι Φr.—[s] δ' v.—[t] δαί Α.—[u] αὐτὸν Kq.—[v] δαί Α.—[w] τούτοις Κ.—[x] ζητεῖ τε ΑΘΠΦΚrmr.—[y] τὸ...τὸ] τοῦ...τοῦ q.—[z] πάσχων q.—[a] καὶ post ὑπομένων ponunt ΘΠΦΑrmr, om Kq.—[b] ἀνακληθεὶς ΑΘΞΠΦΚqmr, ἀνακηθεὶς v: ἀνακλινθεὶς *s.—[c] ἔοικε om r.—[d] τοῦτο Φr.—[e] libri εἰ.—[f] ἐνθυμηθῇ Φr.—

Cod. Reg. et Galen. delentes simul comma post ἀντιπράττειν posuimus; namque hæc verba unam orationem efficiunt, ut et Schol. Ruhnken. p. 160. cepit, eamque ita cohærentem, ut Ficinus vertit: *ratione autem imperante, non esse sibi contradicendum, iram cupiditatibus conjunctam obsistere illi, arbitror te nunquam vel in te ipso vel in alio persensisse.* Κοινωνήσαντα in constructione cum verbo φάναι pro κοινωνῆσαι positum est, ut post λέγειν participium sequitur Phileb. 22. E. vid. Periz. n. ad Ælian. V. H. iii. 17. Valcken. ad Eurip. Phœn. 711. Ast.

ὅσῳ] Galen. p. 295. v. 40. ὅσον, sed v. 49. ὅσῳ agnoscit. Mox pro ζεῖ τε καὶ legit Galen. ζητεῖται, deinde χαλεπαίνειν—συμμαχεῖν—ὑπομένων καὶ νικᾷν—λήγειν—ἢ τελεύτῃ—ἀνακλιθείς. Ast.

ὑπομένειν νικᾷ] Vulgo legitur ὑπομένων νικᾷ, quod sequentibus: πρὶν ἂν ἢ διαπράξηται ἢ τελευτήσῃ ἢ—πραϋνθῇ adversatur; namque is, qui vincit, dici non potest aut vincere aut obire aut mitescere. Rectius, ni fallor, sententiam, quam Plato exhibere voluit, repræsentat scriptura καὶ ὑπομένει νικᾷν καὶ οὐ λήγει τῶν γενναίων. Ὑπομένει cum infinitivo conjunctum est *audere, suscipere, sibi proponere.* Xenoph. Mem. Socrat. ii. 7. 11. νῦν δέ μοι δοκῶ εἰς ἔργων ἀφορμὴν ὑπομένειν αὐτὸ ποιῆσαι. Quæ quidem ipsa exquisitior verbi ὑπομένειν significatio in causa esse potuit, ut corrigeretur ὑπομένων (vulgari τοῦ πάσχειν significatione): sustinens omnia prædicta νικᾷ. Eandem fere scripturam, quam proposuimus, Ficinum in libris suis reperisse, ejus versio docet: *et ad victoriam contendit.* Ast.

ἀνακληθεὶς] Sic Cod. Reg. Ven. et Ficinus, qui *revocatus* vertit. Vulgo ἀνακλινθεὶς, quod ex ἀνακλιθεὶς, ut Galen. legit, enatum est; namque η et ι sexcenties inter se permutata reperiuntur. Ast.

ἀλλ' ἦ] *An vero, num* (Gorg. init. Xenoph. Cyrop. ii. 2. 28. Vid. Valcken.

πρὸς τούτῳ καὶ τόδε ἐνθυμεῖ;[f] Τὸ ποῖον; Ὅτι τοὐναντίον
ἢ ἀρτίως ἡμῖν φαίνεται περὶ τοῦ θυμοειδοῦς. τότε μὲν γὰρ
ἐπιθυμητικόν τι αὐτὸ[g] ᾠόμεθα εἶναι, νῦν δὲ πολλοῦ δεῖν[h]
III. i. 205. φαμέν, ἀλλὰ πολὺ μᾶλλον αὐτὸ ἐν τῇ τῆς ψυχῆς στάσει
τίθεσθαι τὰ ὅπλα πρὸς τοῦ λογιστικοῦ.[i] Παντάπασιν,
ἔφη. Ἆρ' οὖν ἕτερον ὂν καὶ τούτου,[k] ἢ λογιστικοῦ τι[l] εἶ-
δος, ὥστε μὴ τρία ἀλλὰ δύο εἴδη[m] εἶναι ἐν ψυχῇ,[n] λογισ-
τικὸν[o] καὶ ἐπιθυμητικόν; ἢ καθά περ ἐν τῇ πόλει ξυνεῖχεν
II. 441. αὐτὴν τρία ὄντα γένη, χρηματιστικόν, ἐπικουρικόν,[p] βου-
λευτικόν, οὕτω καὶ ἐν ψυχῇ[q] τρίτον τοῦτό ἐστι τὸ θυμοει-
δές, ἐπίκουρον ὂν τῷ λογιστικῷ φύσει, ἐὰν μὴ ὑπὸ κακῆς
τροφῆς διαφθαρῇ; Ἀνάγκη, ἔφη, τρίτον. Ναί, ἦν δ' ἐγώ,
ἄν γε[r] τοῦ λογιστικοῦ ἄλλο τι φανῇ, ὥς περ τοῦ ἐπιθυμη-
τικοῦ ἐφάνη ἕτερον ὄν. Ἀλλ' οὐ χαλεπόν, ἔφη, φανῆναι.[s]
καὶ γὰρ ἐν τοῖς παιδίοις τοῦτό γε[t] ἄν τις ἴδοι, ὅτι θυμοῦ
μὲν εὐθὺς γενόμενα μεστά ἐστι,[u] λογισμοῦ δ' ἔνιοι μὲν
ἔμοιγε δοκοῦσιν οὐδέποτε μεταλαμβάνειν, οἱ δὲ πολλοὶ
ὀψέ ποτε. Ναί μὰ Δί', ἦν δ' ἐγώ, καλῶς γε εἶπες.[v] ἔτι[w]
δὲ[x] ἐν τοῖς θηρίοις ἄν τις ἴδοι ὃ λέγεις, ὅτι οὕτως ἔχει.
πρὸς δὲ τούτοις καὶ ὃ ἄνω που ἐκεῖ εἴπομεν, τὸ τοῦ[y] Ὁμή-
ρου μαρτυρήσει, τὸ

στῆθος δὲ[z] πλήξας κραδίην ἠνίπαπε μύθῳ·

[g] αὐτῶι ΑΠ.—[h] δεῖ Φr.—[i] τὸ λογιστικόν ΑΘΠΦΚvmr, τῷ λογιστικῷ q.—[k] τοῦτο ΑΠΦΚqmr et pr Θ.—[l] τι om Α.—[m] δύο εἴδη δύο Π.—[n] ἐν ψυχῇ ΑΘΠΦΚqvr : ἐν τῇ ψυχῇ *ς.—[o] λογικὸν v.—[p] ἐπικουρητικὸν Α.—[q] ἐν τῇ ψυχῇ v.—[r] τε Φ.—[s] φᾶναι Κ.—[t] γ' v.—[u] μεστά γέ ἐστι q.—[v] εἶπας ΘΦr.—[w] ὅτι Φr.—[x] δ' r, γ' Κ.

ad Eurip. Hippol. 932.), sponte correximus. Vulgo ἀλλ' εἰ; solemnis vocum εἰ, ἢ et ᾗ permutatio. Ast.

τίθεσθαι τὰ ὅπλα] I. e. περιτίθεσθαι, *arma induere*, h. e. capere, vid. Küster. de Verb. Med. i. 25. Viger. ad Euseb. Præp. Evang. p. 68. Wesseling. ad Diodor. Sic. xx. 31. t. ii. p. 428. Ast.

πρὸς τοῦ λογιστικοῦ] Cum secundo casu est *in commodum, pro*, vid. Gronov. ad Arrian. ii. 18. Valcken. ad Schol. in Eurip. Phœn. p. 786. Hinc εἶναι πρός τινος, *stare ab aliquo*, Fischer. ad Weller. t. iii. p. ii. p. 251. Cod. Reg. πρὸς τὸ λογιστικὸν, male. Ast.

ἆρ' οὖν ἕτερον ὂν] Laudat Galen. l. vi. p. 298. v. 46. ubi legimus λογιστικόν τε καὶ ἐπιθυμητικὸν συνῆχεν—τοῦτο τρίτον—διαφθείρηται. Ast.

ἐπίκουρον] Cf. Themist. Orat. xi. p. 149. A. Ast.

καὶ γὰρ ἐν τοῖς παιδίοις] Laudat hæc et uberius explicat Galen. l. l. p. 296. v. 13. ubi legitur τοῦτό γ' ἄν τις ἤδη—καλῶς εἶπες; ἔτι γ'—λέγω—μαρτυρήσης. Ast.

ἄνω ποῦ] Sic recte scribitur apud Galenum; vulgo ἄνω που. Cf. ix. 13. p. 591. B. de Legib. ix. p. 863. B. Ast.

στῆθος δὲ πλήξας] Od. iii. 4. Phædon. p. 397. Fisch. καὶ τὰ μὲν ἀπειλοῦσα, τὰ δὲ νουθετοῦσα ταῖς ἐπιθυμίαις καὶ ὀργαῖς καὶ φόβοις, ὡς ἄλλη οὖσα ἄλλῳ πράγματι διαλεγομένη· οἷόν που καὶ Ὅμηρος ἐν

ἐνταῦθα γὰρ δὴ σαφῶς ὡς ἕτερον ἑτέρῳ ἐπιπλῆττον πεποίηκεν Ὅμηρος τὸ ἀναλογισάμενον περὶ τοῦ βελτίονός τε[a] καὶ III. i. 206. χείρονος τῷ ἀλογίστως θυμουμένῳ. Κομιδῇ, ἔφη,[b] ὀρθῶς λέγεις.

§. 16. Ταῦτα μὲν ἄρα, ἦν δ' ἐγώ, μόγις διανενεύκαμεν, καὶ ἡμῖν ἐπιεικῶς ὁμολογεῖται[c] τὰ αὐτὰ μὲν ἐν πόλει, τὰ αὐτὰ δ' ἐν ἑνὸς[d] ἑκάστου[e] τῇ[f] ψυχῇ γένη[g] ἐνεῖναι, καὶ ἴσα τὸν ἀριθμόν. Ἔστι ταῦτα. Οὐκοῦν ἐκεῖνό γε ἤδη ἀναγκαῖον, ὡς[h] πόλις ἦν σοφὴ καὶ ᾧ,[i] οὕτω καὶ τὸν ἰδιώτην καὶ τούτῳ σοφὸν εἶναι; Τί μήν; Καὶ ᾧ δὴ ἀνδρεῖος ἰδιώτης καὶ ὥς, τούτῳ καὶ πόλιν ἀνδρείαν[k] καὶ οὕτω, καὶ τἆλλα πάντα πρὸς ἀρετὴν ὡσαύτως ἀμφότερα ἔχειν. Ἀνάγκη. Καὶ δίκαιον δή, ὦ Γλαύκων, οἶμαι, φήσομεν[l] ἄνδρα εἶναι[m] τῷ αὐτῷ τρόπῳ ᾧ περ[n] καὶ πόλις ἦν δικαία. Καὶ τοῦτο[o] πᾶσα ἀνάγκη. Ἀλλ' οὔ πω[p] μὴν[q] τοῦτο[r] ἐπιλελήσμεθα, ὅτι ἐκείνη γε τῷ τὸ ἑαυτοῦ ἕκαστον ἐν αὐτῇ πράττειν τριῶν ὄντων γενῶν[s] δικαία ἦν. Οὔ μοι δοκοῦμεν, ἔφη, ἐπιλελῆσ-

—[y] τοῦ om v.—[z] δὲ στῆθος m.—[a] τε om ΘΦr.—[b] ἔφην v.—[c] ὡμολόγηται Kq.—[d] ἑνὸς ΘΞΦqr : ἑνὶ *s.—[e] ἑκάστου ΑΘΞΠΦKqr : ἑκάστῳ *s.—[f] τῇ om ΘΠΦKqr.—[g] γένει m et corr A.—[h] ὦ Φr.—[i] ὡς corr Φ.—[k] καὶ ἀνδρείαν ΑΠm.—[l] φήσομεν οἶμαι Φ.—[m] · ναί Φ.—[n] ὥσπερ v.—[o] τούτω m.—[p] πω qv : πη *s.—[q] μὲν m.—

Ὀδυσσείᾳ πεποίηκεν κ. τ. λ. Commentarii instar est Galeni locus de Hippocrat. et Plat. Decret. iii. p. 267. v. 3. t. i. Bas. Ceterum Galen. l. vi. p. 296. ἠνείπατε θύμῳ—περὶ βελτίονος—ἀλογίστῳ. Ast.

§. 16. *ταῦτα μὲν ἄρα*] Laudat Stob. Serm. ix. p. 116. Ast.

διανενεύκαμεν] Tim. Lexic. p. 79. ἐπεραιώθημεν. Διανεῖν est enim διαπερᾶν, natationis imagine, ut solet, ad orationem translata, vid. nostra ad Phædr. p. 357. Bas. 2. legit διανενέγκαμεν. Ast.

ὁμολογεῖται] Stob. ὡμολόγηται, ut Ficinus vertit: *inter nos constitit*, quod præferendum videtur esse, licet haud necessarium sit. Ast.

ἐν ἑνὸς ἑκάστου] Vulgo ἐν ἑνὶ ἑκάστῳ τῇ ψυχῇ, in quo dativus ἑνὶ ἑκάστῳ admodum offendit. Cod. Reg. præstat lectionem ἑκάστου, quocirca ἑνὸς ἑκάστου scripsimus. Sed, ni fallor, ἑνὶ e prægresso ἐν enatum est, cujus generis exempla innumera in uno Parmenide extant, et articulus τῇ ante ψυχῇ cum cod. Reg. expungendus. Jam si legeris ἐν ἑκάστου ψυχῇ, oratio et perspicua et sincera erit, eaque ipsa, quam Ficinus expressit vertendo: *in cujusque anima*. Vulgatam scripturam ἑνὶ ἑκάστῳ nonnisi ita defendere potes, ut τῇ ψυχῇ pro glossemate habeas. Ast.

οὕτω] Scribendum puto αὕτη, aut αὐτή: (sed οὕτω vicinius est illi αὕτη) et ante τούτῳ expungendam particulam καί: ut legatur ita hic locus, καὶ ᾧ αὕτη, καὶ τὸν ἰδιώτην τούτῳ σοφὸν εἶναι. Intellige autem καὶ ᾧ αὕτη ἦν σοφή. alioqui, jungendo cum εἶναι, accusativo esset opus. Steph.

καὶ οὕτω] Hæc verba, quæ in libris editis male cum sequentibus connexa sunt, cum præcedentibus conjunximus; οὕτω enim respondet prægresso ὡς. Sic et Stobæus recte distinguit verba et Ficinus vertit. Ast.

οὔπω] E Stobæo rescripsimus pro οὔπη, confirmante Ficino: *at nondum illud obliti sumus*. Idem exhibet τοῦτό γε. Ast.

θαι. Μνημονευτέον ἄρα ἡμῖν ὅτι καὶ[t] ἡμῶν ἕκαστος, ὅτου
ἂν[u] τὰ αὑτοῦ ἕκαστον τῶν[v] ἐν αὐτῷ πράττῃ,[w] οὗτος[x] δί-
καιός[y] τε[z] ἔσται καὶ[a] τὰ αὑτοῦ πράττων. Καὶ μάλα, ἦ
δ' ὅς, μνημονευτέον. Οὐκοῦν τῷ μὲν λογιστικῷ ἄρχειν
προσήκει, σοφῷ ὄντι καὶ ἔχοντι τὴν ὑπὲρ ἁπάσης τῆς ψυ-
χῆς προμήθειαν,[b] τῷ δὲ θυμοειδεῖ ὑπηκόῳ εἶναι καὶ ξυμ-
III. i. 207. μάχῳ τούτου;[c] Πάνυ γε. Ἆρ' οὖν οὐχ ὥς περ ἐλέγομεν,
μουσικῆς καὶ γυμναστικῆς κρᾶσις ξύμφωνα[d] αὐτὰ ποιή-
II. 442. σει, τὸ μὲν ἐπιτείνουσα καὶ τρέφουσα λόγοις τε καλοῖς καὶ
μαθήμασι, τὸ δὲ ἀνιεῖσα, παραμυθουμένη,[e] ἡμεροῦσα[f] ἁρ-
μονίᾳ τε καὶ ῥυθμῷ; Κομιδῇ γε, ἦ δ' ὅς. Καὶ τούτω δὴ
οὕτω τραφέντε καὶ ὡς ἀληθῶς τὰ αὑτῶν μαθόντε καὶ παι-
δευθέντε προστήσετον[g] τοῦ ἐπιθυμητικοῦ, ὃ δὴ πλεῖστον τῆς
ψυχῆς ἐν ἑκάστῳ ἐστὶ καὶ χρημάτων φύσει ἀπληστότα-
τον· ὃ[h] τηρήσετον, μὴ τῷ πίμπλασθαι τῶν περὶ τὸ σῶμα
καλουμένων ἡδονῶν πολὺ καὶ ἰσχυρὸν[i] γενόμενον οὐκ αὖ
τὰ[k] αὑτοῦ πράττῃ,[l] ἀλλὰ[m] καταδουλώσασθαι καὶ ἄρχειν
ἐπιχειρήσῃ[n] ὧν οὐ[o] προσῆκον[p] αὐτῷ γενῶν,[q] καὶ[r] ξύμπαντα
τὸν βίον πάντων ἀνατρέψῃ.[s] Πάνυ μὲν οὖν, ἔφη. Ἆρ'
οὖν, ἦν δ' ἐγώ, καὶ τοὺς ἔξωθεν πολεμίους τούτω[t] ἂν κάλ-
λιστα φυλαττοίτην[u] ὑπὲρ ἁπάσης τῆς ψυχῆς τε[v] καὶ τοῦ

[r] τοῦτό γε υ.—[s] γε δεινῶν Φr.—[t] καὶ om ΘΦKr.—[u] ὅτου ἂν ΑΠKrm, ὅπου ἂν q : ὅταν *ς.—[v] ἕκαστον τῶν add Aυm.—[w] πράττοι K.—[x] οὗτος add ΑΠKqrm.—[y] δικαίου m.—[z] γε q.—[a] καὶ om Kq.—[b] προμηθίαν ΘΠΦKr.—[c] του m.—[d] ξ. ΦK rr.—[e] ἀνιεῖσα καὶ παρ. r.—[f] ante ἡμεροῦσα omisi καὶ cum ΑΘΠΦKqrmr.—[g] an προστατήσετον?—[h] ὧι ΑΘΦmr, ὢ Π, ὣ K.—[i] ἰσχυρῶς m.—[k] οὐκ αὖ τὰ ΑΠqυ, οὐκ αὐτὰ m, οὐκ ἂν τὰ K : οὐ τὰ *ς.—[l] πράττει Φ, πράττειν υm.—[m] ἀλλ' ἂν K.—[n] ἐπιχειρήσει m, ἐπιχειρῇ Θ, ἐπιχειρεῖ Φr, ἐπιχειρῆσον Kq.—[o] οὐ om Θ.—[p] προσ-
η
ῆκεν q.—[q] γενῶν q, γένη ΘΦr, γένει ΑΠKrm, γένει Ξ : γε ἢ *ς.—[r] καὶ om K.—[s] ἀνατρέψει m.—[t] τοῦτο m.—[u] φυλαττοίτην q, φυλάττοι τὴν Am et pr Π, φυλάτ-

δοκοῦμεν] Ald. et Bas. 1. δοκεῖ μέν. Mox Stob. οὕτω δικαιότερός τε; deinde τὰ ante αὑτοῦ Ald. Bas. 1. et 2. ignorant. Ast.

λογιστικῷ] Stob. λογικῷ——προσῆκον—ἁπάσης ψυχῆς. Ast.

ἀνιεῖσα καὶ] Copulam καὶ interponendam esse putavimus. Ast.

τούτω] Sic Stob. et Stephan. in Ald. Bas. 1. et 2. legitur τοῦτο. Mox Stob. τὰ αὐτὰ pro τὰ αὑτῶν. Ast.

πλεῖστον] Articulum τὸ apponendum esse patet. Ficinus vertit: *quæ pars animæ in quocunque est plurima.* Stob. exhibet κρεῖττον—τὸ πίμπλασθαι—πράττει—ἐθέλει pro ἐπιχειρήσῃ—ἀνατρέψει. Ast.

καταδουλώσασθαι] Bas. 2. καταδουλώσεσθαι. Ast.

ἦν] Pro vulgato ἢ scripsimus ἦν, significatione præsentis temporis, de quo vid. Viger. de Idiotism. p. 237. ed. Herm. et Heind. ad Theæt. §. 33.—Bas. 2. exhibet γένη. Ast.

σώματος, τὸ μὲν βουλευόμενον, τὸ δὲ προπολεμοῦν,[w] ἑπόμενον δὲ τῷ ἄρχοντι καὶ τῇ ἀνδρίᾳ ἐπιτελοῦν τὰ βουλευθέντα; Ἔστι ταῦτα. Καὶ ἀνδρεῖον[x] δή, οἶμαι, τούτῳ τῷ μέρει καλοῦμεν ἕνα ἕκαστον, ὅταν αὐτοῦ τὸ θυμοειδὲς διασώζῃ διά τε λυπῶν καὶ ἡδονῶν τὸ ὑπὸ τοῦ λόγου[y] παραγγελθὲν δεινόν τε καὶ μή. Ὀρθῶς γ',[z] ἔφη. Σοφὸν δέ γε[a] III. i. 208. ἐκείνῳ[b] τῷ σμικρῷ μέρει, τῷ[c] ὃ ἦρχέ τ' ἐν αὐτῷ καὶ ταῦτα παρήγγελλεν,[d] ἔχον αὖ κἀκεῖνο ἐπιστήμην ἐν αὐτῷ τὴν τοῦ ξυμφέροντος ἑκάστῳ τε καὶ ὅλῳ τῷ κοινῷ σφῶν αὐτῶν τριῶν ὄντων. Πάνυ μὲν οὖν. Τί δέ;[e] σώφρονα οὐ τῇ φιλίᾳ καὶ ξυμφωνίᾳ τῇ[f] αὐτῶν τούτων, ὅταν τό τε ἄρχον καὶ τὼ ἀρχομένω[g] τὸ λογιστικὸν ὁμοδοξῶσι δεῖν ἄρχειν[h] καὶ μὴ στασιάζωσιν αὐτῷ; Σωφροσύνη γοῦν, ἦ δ' ὅς, οὐκ ἄλλο τί ἐστιν ἢ τοῦτο, πόλεώς τε καὶ ἰδιώτου. Ἀλλὰ[i] μὲν δὴ δίκαιός γε, ᾧ[k] πολλάκις λέγομεν,[l] τούτῳ καὶ οὕτως ἔσται. Πολλὴ ἀνάγκη. Τί οὖν; εἶπον ἐγώ· μή πῃ ἡμῖν ἀπαμ-

τοιτον τὴν rc Π, φυλάττοιτον Kr, φυλάττοιτο Φr : φυλάττοι τῷ corr Θ cum ς.—[v] τε om ΦKr.—[w] προπολεμοῦν ΑΘΞΠΦKqrmr : πολεμοῦν ς.—[x] ἀνδρείου K.—[y] τῶν λόγων ΑΘΠΦKrmr.—[z] γ' om Kq.—[a] δ' ΘΦr.—[b] ἐκεῖνο K et pr q.—[c] τῷ ante ὃ om Kq.—[d] παρήγγελεν m.—[e] δαὶ m.—[f] alterum τῇ om r.—[g] τὼ ἀρχομένω Φr, τὸ ἀρχόμενον Kq : τῷ ἀρχομένῳ *ς.—[h] τὸ λογιστικὸν ὁμοδοξῶσι δεῖν ἄρχειν ΑΠrm, τῷ λογιστικῷ ὁμοδοξῶσι δεῖν ἄρχειν Kq : ὁμοδοξῶσιν ὡς δεῖν ἄρχειν τὸ λογιστικόν *ς.—[i] ἀλλ' ἃ m.—[k] ὧι ΑΠrm : ὡς *ς.—[l] ἐλέγομεν r.—[m] ἀπαμβλύνητα·

τούτω—φυλαττοίτην] Vulgo scribitur τούτῳ φυλάττοι τῷ, Stob. vero legit τοῦτο φυλάττοι τὴν et cod. Reg. φυλάττοι τὸν, unde per se patet φυλαττοίτην et τούτω corrigendum esse, id quod Heind. quoque ad Phædr. p. 313. monuit. Sic etiam supra: καὶ τούτω δὴ οὕτω τραφέντε cet. Mox pro βουλευομένου Stob. κελευόμενον. Ast.

προπολεμοῦν] Sic Bas. 2. eodem ducit Stobæi scriptura προσπολεμοῦν (vid. ad i. 7.). Vulgo πολεμοῦν. Etiam Ficinus expressit προπολεμοῦν vertens: *propugnat*. Ast.

ὃ ἦρχε] Quod vulgo ante ὃ legitur, τῷ cum cod. Reg. expunximus. Stob. exhibet πῶς; paulo post παρήγγειλεν—ἑκάστοτε—σῶφρον ἴσχυ—καὶ τῇ ξυμφωνίᾳ. Ast.

τῷ ἀρχομένῳ] Nemo negaverit, ut opinor, quin hic scribere oporteat τό, τε ἄρχον καὶ τὸ ἀρχόμενον ὁμοδοξῶσιν: et ὡς δεῖ, non ὡς δεῖν: aut certe δεῖν absque ὡς. Steph.

τὼ ἀρχομένω] Hoc jam sequens στασιάζωσιν αὐτῷ requirit. Ast.

ὡς] Abest a cod. Reg. sed sæpe fit, ut cum infinitivo ponatur, vid. Abresch. Diluc. Thucyd. p. 6. Lex. Xenoph. v. iv. p. 615. Ast.

μή πη ἡμῖν τι] Sic locum valde depravatum leni, ut videtur, emendatione correximus. Nimirum post ἡμῖν inseruimus τὶ, quod sequens εἴ τι ἡμῶν ἔτι ἐν τῇ ψυχῇ ἀμφισβητεῖ efflagitat. Etiam Ficinus vertit: *Quid porro? Estne aliquid?* Μή πη c. indicativo est interrogative positum, de quo vid. Devar. de Particul. L. Gr. p. 215. ed. Reusm. Sic Polit. v. p. 466. A. μή πη κατὰ τὸν τῶν σκυτοτόμων φαίνεται βίον; vi. p. 486. E. μή πη δοκοῦμέν σοι οὐκ ἀναγκαῖα ἕκαστα διεληλυθέναι; Theæt. p. 163. D. Soph. Antig. 632. Œd. C. 1502. Eurip. Tro. 178. Vid. Hermann. ad Viger. p. 776. Heind. ad Parmen. p. 213. Ast.

βλύνεται[m] ἄλλο τι δικαιοσύνη[n] δοκεῖν[o] εἶναι ἢ ὅ περ ἐν τῇ πόλει ἐφάνη; Οὐκ ἔμοιγε, ἔφη, δοκεῖ. Ὧδε γάρ, ἦν δ' ἐγώ, παντάπασιν ἂν βεβαιωσαίμεθα[p] εἴ τι ἡμῶν ἔτι[q] ἐν τῇ ψυχῇ ἀμφισβητεῖ,[r] τὰ φορτικὰ αὐτῷ προσφέροντες. Ποῖα δή; Οἷον εἰ δέοι ἡμᾶς ἀνομολογεῖσθαι περί τε ἐκείνης τῆς πόλεως καὶ τοῦ ἐκείνῃ ὁμοίως πεφυκότος τε καὶ τεθραμμένου ἀνδρός, εἰ[s] δοκεῖ[t] ἂν παρακαταθήκην χρυσίου ἢ ἀρ-
III. i. 209. γυρίου δεξάμενος ὁ τοιοῦτος ἀποστερῆσαι, τίν' ἂν[u] οἴει[v]
II. 443. οἰηθῆναι τοῦτο[w] αὐτὸν[x] δρᾶσαι μᾶλλον ἢ ὅσοι μὴ τοιοῦτοι; Οὐδέν' ἄν, ἔφη. Οὐκοῦν καὶ[y] ἱεροσυλιῶν καὶ κλοπῶν καὶ[z] προδοσιῶν, ἢ ἰδίᾳ ἑταίρων[a] ἢ δημοσίᾳ πόλεων, ἐκτὸς ἂν οὗτος εἴη; Ἐκτός. Καὶ μὴν οὐδ' ὁπωστιοῦν ἄπιστος ἢ[b] κατὰ ὅρκους[c] ἢ κατὰ τὰς[d] ἄλλας ὁμολογίας. Πῶς γὰρ ἄν; Μοιχεῖαι μὴν[e] καὶ γονέων ἀμέλειαι καὶ θεῶν ἀθεραπευσίαι[f] παντὶ ἄλλῳ μᾶλλον ἢ τῷ τοιούτῳ προσήκουσιν. Παντὶ μέντοι, ἔφη. Οὐκοῦν τούτων πάντων αἴτιον, ὅτι αὐτοῦ[g] τῶν ἐν αὐτῷ[h] ἕκαστον τὰ αὑτοῦ πράττει ἀρχῆς τε πέρι καὶ τοῦ ἄρχεσθαι; Τοῦτο μὲν οὖν, καὶ οὐδὲν ἄλλο. Ἔτι[i]

corr A.—[n] δικαιοσύνην v.—[o] δοκεῖν ΑΠDKqrm, δεῖν rc ΘΞΦ, om r et pr ΘΞΦ : δεῖ *s.—[p] βεβαιωσώμεθα ΦKr.—[q] ἔστιν v.—[r] ἀμφισβητοῦν v.—[s] ἦ v.—[t] δοκοῖ Ξq.—[u] ἂν om ΘΞΦr.—[v] ἢ v.—[w] τοῦτον ΑΘΠΦvmr.—[x] αὐτὸ K.—[y] καὶ om q.—[z] καὶ
αι ω
ante κλοπῶν om q.—[a] ἑτέρων Θ, ἑτέρων Φr, ἑτέρυν v.—[b] ἦι ΑΠ.—[c] κατὰ ὅρκους ΑΘΞΠΦqvmr : κατὰ τοὺς ὅρκους *s.—[d] τὰς om ΘΦr.—[e] μὲν Am.—[f] ἀθεραπευσία
τὸ
q.—[g] αὐτοῦ ΑΠDvq, αὐτῶ K et corr Θ, αὐτοῦ Ξ : αὐτὸ *s.—[h] ἑαυτῷ m.—[i] ἔτι ΑΠ

δεῖ] Modo δεῖ pro δεῖν reponendum dixi: hic contra δεῖν pro δεῖ, simulque δικαιοσύνην pro δικαιοσύνη. Alioqui legi etiam posset ὡς ἄλλό τι δικαιοσύνην δεῖ εἶναι. Steph.

δικαιοσύνη] Ita scripsimus pro δικαιοσύνην et δοκοῦν pro δεῖ; Stob. enim exhibet δοκεῖν, quod Ficinus quoque expressit. Sensus est, ‘Num quid in nobis tam cœcum est et dubium, ut opinetur (δοκοῦν) justitiam aliud quid esse præter id, quod in civitate esse potuit?’ h. e. nonne clare patet, justitiam in homine et in civitate unam eandemque esse? Sic sensus perspicuus est, qualem ipsa verba per se monstrant. Contra Schneider. (Lexic. Græc. t. ii. p. 688. ed. ii.) δεῖ expungens et Suidæ explicationem sequens, qui verbum ἀπαμβλύνειν accipit pro ἐκκαθαίρειν (quæ quidem significatio valde dubito, an idoneis possit exemplis probari) ita hunc locum interpretatur: ‘ne justitia ex tenebris evoluta et in luce collocata appareat nobis diversa esse ab ea, quam in republica vidimus.’ Quod miror in mentem venire potuisse viro eruditissimo. Similem fere sensum habet ἀμβλύνοιτο l. vi. 5. ut sit *hebescat, animum demittat*. Ast.

ἀνομολογεῖσθαι] Stob. ἂν ὁμολογεῖσθαι. Mox ἰδιαίτερον pro ἰδίᾳ ἑταίρων, et ὅπως τίς γε οὖν pro ὅπως τι οὖν. Mox μοιχεῖαί γε μὴν e Stobæo reposuimus; vulgo γὲ abest. Ast.

ὅτι αὐτῷ] Vulgo αὐτὸ, quod sensum non habet, quum hæc verba τὸν δίκαιον respiciant; quocirca αὐτῷ correximus. Ast.

τι οὖν ἕτερον ζητεῖς δικαιοσύνην εἶναι ἢ ταύτην τὴν δύναμιν, ἣ τοὺς τοιούτους ἄνδρας τε[k] παρέχεται καὶ πόλεις; Μὰ Δία,[l] ἦ δ' ὅς, οὐκ ἔγωγε. [§. 17.] Τέλεον[m] ἄρα ἡμῖν τὸ ἐνύπνιον ἀποτετέλεσται ὃ ἔφαμεν ὑποπτεῦσαι, ὡς εὐθὺς ἀρχόμενοι τῆς πόλεως οἰκίζειν κατὰ θεόν τινα εἰς ἀρχήν τε[n] καὶ τύπον τινὰ[o] τῆς δικαιοσύνης κινδυνεύομεν ἐμβεβηκέναι; Παντάπασι μὲν οὖν. Τὸ δέ γε[p] ἦν ἄρα,[q] ὦ Γλαύκων, δι' ὃ καὶ ὠφελεῖ, εἴδωλόν τι τῆς δικαιοσύνης, τὸ τὸν[r] μὲν σκυτοτομικὸν φύσει ὀρθῶς ἔχειν σκυτοτομεῖν καὶ ἄλλο μηδὲν πράττειν, τὸν δὲ τεκτονικὸν τεκταίνεσθαι, III. i. 210.
καὶ τἆλλα δὴ οὕτως. Φαίνεται. Τὸ δέ γε ἀληθές, τοιοῦτον[s] μέν τι[t] ἦν, ὡς ἔοικεν, ἡ δικαιοσύνη, ἀλλ' οὐ περὶ τὴν ἔξω πρᾶξιν τῶν αὑτοῦ, ἀλλὰ περὶ τὴν ἐντὸς ὡς ἀληθῶς, περὶ ἑαυτὸν[u] καὶ τὰ ἑαυτοῦ, μὴ ἐάσαντα τἀλλότρια[v] πράττειν ἕκαστον ἐν αὑτῷ μηδὲ πολυπραγμονεῖν πρὸς ἄλληλα τὰ ἐν τῇ ψυχῇ γένη, ἀλλὰ τῷ ὄντι τὰ οἰκεῖα εὖ θέμενον καὶ ἄρξαντα αὐτὸν[w] αὑτοῦ καὶ κοσμήσαντα καὶ φίλον γενόμενον ἑαυτῷ καὶ ξυναρμόσαντα τρία ὄντα, ὥσπερ ὅρους τρεῖς ἁρμονίας[x] ἀτεχνῶς, νεάτης τε καὶ ὑπάτης καὶ μέσης, καὶ εἰ[y] ἄλλα[z] ἄττα μεταξὺ τυγχάνει ὄντα, πάντα ταῦτα ξυνδήσαντα καὶ παντάπασιν ἕνα γενόμενον ἐκ πολ-

ΦDKqvmr, ἔστι ΘΞ: τι *ς.—[k] τε om K.—[l] δί' r.—[m] τελευταῖον Am.—[n] τε add Am.—[o] τινὰ add ΑΞΠrm.—[p] γε om ς.—[q] ἄρα om Φ.—[r] τὸ D.—[s] τοιοῦτο v.—[t] τοι Φ.—[u] περὶ ἑαυτῶν A.—[v] τἀλλότρια Ξm: τὰ ἀλλότρια *ς.—[w] αὐτὸν...ἑαυτῷ om A.—[x] ἁρμονίας τρεῖς ΘΦr.—[y] εἰ ante καὶ ponunt Am, om v.—[z] ἄλλ' vr.—

τοῦτο μὲν δὴ οὖν] Particulam δὴ e Stobæo inseruimus. Ast.

§. 17. *τύπον*] E Bas. 2. et Stob. reponendum est *τύπον τινὰ*, quod Ficinus quoque expressit: *in aliquod principium imaginemque.* Mox post Τόδε (sic enim scribendum pro Τὸ δὲ, etiam Ficinus: *hoc autem*—) inseruimus γε cum Cod. Reg. et Stob. Ast.

ὠφέλει] Sic pro ὠφελεῖ correximus sensu postulante. Verba enim ita cohærent: *τόδε γε ἦν ἄρα εἴδωλόν τι τῆς δικαιοσύνης* (*δι' ὃ καὶ ὠφέλει, quocirca nobis in perscrutanda justitiæ natura profuit, quoniam justitiæ ipsius imago in eo inerat,*) scilicet τὸ (i. e. *τοῦτο*), *τὸν μὲν σκυτοτόμον* cet. Ast.

τὸ δέ γε ἀληθὲς] *Revera*, i. q. alias simpliciter τὸ δὲ, de quo jam exposuimus. Ast.

νεάτης] Schol. Ruhnk. *ἤτοι νήτη, ὑπερβολαίων ἡ ἐσχάτη χορδὴ τοῦ δὶς διὰ πασῶν συστήματος. Ὑπάτη δὲ ἡ μετὰ τὸν προλαμβανόμενον λεγόμενον φθόγγον πρώτη χορδὴ τοῦ αὐτοῦ τούτου δὶς διὰ πασῶν συστήματος. Μέση δὲ καὶ αὐτὴ ἤτοι φθόγγος ἢ χορδὴ ἡ τελευταία μὲν τοῦ πρώτου διὰ πασῶν, ἀρχὴ δὲ τοῦ δευτέρου, ὡς εἶναι τούτων κοινήν, ὡς Πτολεμαῖός τέ φησι καὶ οἱ ἄλλοι μουσικοί.* Vid. Vitruv. v. 4. Nicomach. Harm. in Meibom. Antiq. Mus. Script. p. 33. Heeren. ad Stob. Eclog. Phys. p. i. p. 460. Ast.

λῶν, σώφρονα καὶ ἡρμοσμένον, οὕτω δὴ πράττειν ἤδη, ἐάν
τι πράττῃ ἢ περὶ χρημάτων κτῆσιν ἢ περὶ σώματος θερα-
πείαν ἢ καὶ πολιτικόν[a] τι ἢ περὶ[b] τὰ ἴδια ξυμβόλαια, ἐν
πᾶσι τούτοις ἡγούμενον καὶ ὀνομάζοντα δικαίαν μὲν καὶ
II. 444. καλὴν πρᾶξιν ἣ ἂν ταύτην[c] τὴν ἕξιν σώζῃ τε καὶ συναπερ-
γάζηται,[d] σοφίαν δὲ τὴν ἐπιστατοῦσαν ταύτῃ[e] τῇ πράξει
ἐπιστήμην, ἄδικον δὲ πρᾶξιν ἣ ἂν ἀεὶ ταύτην λύῃ,[f] ἀμαθίαν
δὲ τὴν ταύτῃ αὖ[g] ἐπιστατοῦσαν δόξαν. Παντάπασιν, ἦ
III. i. 211. δ' ὅς, ὦ Σώκρατες, ἀληθῆ λέγεις. Εἶεν, ἦν δ' ἐγώ· τὸν
μὲν δίκαιον καὶ ἄνδρα καὶ πόλιν καὶ δικαιοσύνην, ὃ τυγ-
χάνει ἐν αὐτοῖς ὄν, εἰ φαῖμεν[h] εὑρηκέναι, οὐκ ἂν πάνυ τι,[i]
οἶμαι, δόξαιμεν ψεύδεσθαι. Μὰ Δία[k] οὐ μέντοι, ἔφη.
Φῶμεν ἄρα; Φῶμεν.

Ἔστω[l] δή,[m] ἦν δ' ἐγώ· μετὰ γὰρ τοῦτο σκεπτέον, οἶμαι, ἀδικίαν. Δῆλον ὅτι.[n] Οὐκοῦν στάσιν τινὰ αὖ τριῶν ὄντων τούτων[o] δεῖ αὐτὴν εἶναι καὶ πολυπραγμοσύνην καὶ ἀλλοτριοπραγμοσύνην καὶ ἐπανάστασιν μέρους τινὸς τῷ ὅλῳ τῆς ψυχῆς, ἵν' ἄρχῃ ἐν αὐτῇ οὐ προσῆκον, ἀλλὰ τοιούτου ὄντος φύσει οἵου[p] πρέπειν[q] αὐτῷ δουλεύειν τῷ τοῦ[r] ἀρχικοῦ γένους ὄντι.[s] τοιαῦτ' ἄττα, οἶμαι,[t] φήσομεν καὶ τὴν τούτων ταραχὴν καὶ πλάνην εἶναι, τήν τε ἀδικίαν καὶ ἀκο-

[a] καὶ πολιτικόν ΑΘΠΦDKqrmr : καὶ περὶ πολιτικόν *ς.—[b] ἢ καὶ περὶ A.—[c] ταύτην ...ἂν om Φ.—[d] ξ. v.—[e] ταύτην Π.—[f] λύοι ΘΞΦr.—[g] αὖ ΛΞΠrm, om ΘΦr : ἂν *ς.—[h] φῶμεν Φr.—[i] τοι ΘΞΦr.—[k] δί' vr.—[l] ἔστι D.—[m] δὲ Km.—[n] ὅτι om m.—[o] τοιούτων Φ.—[p] οἵου m, οἷον v.—[q] πρέπει v.—[r] τοῦ δ' αὖ δουλεύειν ΑΠDKm, τῶ δ' αὖ δουλεύειν q.—[s] ὄντε q.—[t] εἶναι v.—[u] καὶ ante δειλίαν om v.—[v] ξ. Ξv.—

σώφρονα] Stob. καὶ ἐκ πολλῶν σώφρονα. Mox σώζηται καὶ συναπεργάζηται—ὡς τὴν ταύτῃ cet.—Paulo ante verba καὶ κοσμήσαντα e sede sua remota videbantur De-Geerio Diatrib. p. 102. et ante καὶ ξυναρμόσαντα ponenda; quod secus mihi videtur, κοσμεῖν enim, quod est *in ordinem redigere*, deinde temperare et moderari, recte cum ἄρχειν conjungitur. Ast.

ἂν ἐπιστατοῦσαν] Platonem scripsisse puto ἀντεπιστατοῦσαν. nullum enim hic usum habere potest vocula ἂν: eoque magis audacter ex ἂν et ἐπιστατοῦσαν faciendum esse unum vocabulum ἀντεπιστατοῦσαν dico: simul etiam respiciens ad ἐπιστατοῦσαν, quod proxime præcessit: ut quemadmodum σοφίαν dixit τὴν ἐπιστατοῦσαν ταύτῃ τῇ πράξει ἐπιστήμην: ita ἀμαθίαν (quæ σοφίᾳ est contraria) dicat τὴν ταύτῃ ἀντεπιστατοῦσαν δόξαν. Steph.

ταύτῃ ἂν] Haud dubie ἂν mutandum in αὖ. Ast.

φῶμεν ἄρα ;] Vulgo ἆρα. Interrogans est ipsum verbum φῶμεν. Ast.

ἔστω δή] Stob. ἔστι δή; deinde δῆλον, omisso ὅτι. Ast.

προσῆκον] Absolute positum est, ut ἐξὸν et alia poni solent, de quo jam exposuimus. Ast.

τοιούτου—οἵου] I. e. ὥστε, ut jam supra explicavimus. Ast.

λασίαν καὶ δειλίαν[u] καὶ ἀμαθίαν καὶ ξυλλήβδην[v] πᾶσαν κακίαν. Ταὐτὰ μὲν οὖν ταῦτα,[w] ἔφη. [§. 18.] Οὐκοῦν, ἦν δ' ἐγώ, καὶ τὸ ἄδικα[x] πράττειν καὶ τὸ ἀδικεῖν καὶ αὖ τὸ δίκαια ποιεῖν, ταῦτα πάντα τυγχάνει ὄντα[y] κατάδηλα ἤδη σαφῶς, εἴ περ καὶ ἡ[z] ἀδικία τε καὶ δικαιοσύνη;[a] Πῶς δή; Ὅτι, ἦν δ'[b] ἐγώ, τυγχάνει οὐδὲν διαφέροντα τῶν ὑγιεινῶν τε καὶ νοσωδῶν, ὡς ἐκεῖνα ἐν σώματι, ταῦτα ἐν ψυχῇ.[c] Πῇ; ἔφη. Τὰ μέν που[d] ὑγιεινὰ ὑγίειαν ἐμποιεῖ,[e] τὰ δὲ νοσώδη νόσον. Ναί.[f] Οὐκοῦν καὶ τὸ μὲν III. i. 212. δίκαια πράττειν δικαιοσύνην ἐμποιεῖ, τὸ δ' ἄδικα ἀδικίαν;[g] Ἀνάγκη. Ἔστι δὲ τὸ μὲν ὑγίειαν ἐμποιεῖν[h] τὰ[i] ἐν τῷ[k] σώματι κατὰ φύσιν καθιστάναι κρατεῖν τε καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων, τὸ δὲ νόσον[l] παρὰ φύσιν[m] ἄρχειν τε καὶ ἄρχεσθαι ἄλλο ὑπ' ἄλλου. Ἔστι[n] γάρ. Οὐκοῦν αὖ,[o] ἔφην, τὸ[p] δικαιοσύνην ἐμποιεῖν τὰ[q] ἐν τῇ ψυχῇ κατὰ φύσιν καθιστάναι κρατεῖν τε[r] καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων, τὸ δὲ ἀδικίαν παρὰ φύσιν ἄρχειν τε καὶ ἄρχεσθαι ἄλλο ὑπ' ἄλλου; Κομιδῇ, ἔφη. Ἀρετὴ μὲν ἄρα, ὡς ἔοικεν, ὑγίειά τέ τις ἂν[s] εἴη καὶ κάλλος[t] καὶ εὐεξία ψυχῆς, κακία δὲ νόσος τε καὶ αἶσχος καὶ[u] ἀσθένεια. Ἔστιν οὕτως. Ἆρ' οὖν οὐ καὶ τὰ μὲν καλὰ ἐπιτηδεύματα εἰς ἀρετῆς κτῆσιν φέρει, τὰ δ' αἰσχρὰ εἰς κακίας; Ἀνάγκη.

Τὸ δὴ λοιπὸν ἤδη, ὡς ἔοικεν,[v] ἡμῖν ἐστὶ[w] σκέψασθαι πότερον αὖ λυσιτελεῖ δίκαιά τε πράττειν καὶ καλὰ ἐπιτη- II. 445. δεύειν καὶ εἶναι δίκαιον, ἐάν τε λανθάνῃ ἐάν τε μὴ τοιοῦτος ὤν, ἢ ἀδικεῖν τε καὶ ἄδικον εἶναι, ἐάν περ[x] μὴ διδῷ δίκην

[w] ταυτὰ μὲν οὖν ταῦτα Amr, ταῦτα μὲν οὖν ταῦτα ΘΞΠΦ : ταῦτα μὲν οὖν ταύτῃ *ς. —[x] τὰ δίκαια ΑΘΞΠΦmr.—[y] ὄντα τυγχάνει ΘΞΦr.—[z] ἡ add ΑΘΞΠΦrmr.—[a] καὶ ἡ δικαιοσύνη ΘΦrr.—[b] ὅτι δὴ ἦν r.—[c] τῇ ψυχῇ K.—[d] τοι ΘΦr.—[e] ἐμποιεῖν ς.—[f] ναί om K.—[g] ἄδικα πράττειν ἀδικίαν Ξv.—[h] ἐμποιεῖν Ξm : ποιεῖν *ς.—[i] τὰ om q.—[k] τῷ om m.—[l] νόσον...δὲ om K.—[m] παρὰ φύσιν post ἄρχεσθαι ponit Ξ et hic et v. 8.—[n] ἔστι...ἄλλου om Φ.—[o] ἂν v.—[p] τὴν r.—[q] τὰ om v.—[r] δὲ r.—[s] ἂν om DK q.—[t] καὶ κάλλος om Φr.—[u] καὶ ante ἀσθένεια om Φ.—[v] ὡς ἔοικεν ἤδη v.—[w] ἔστιν

§. 18. εἴπερ καὶ ἀδικία] Stob. ἧπερ καὶ ἡ ἀδικία. Mox ἐν τῇ ψυχῇ, ut cod. Reg. et πράττει. Ast.

ἐμποιεῖ] Vulgatum ἐμποιεῖν sponte sic correximus. Ast.

καθιστάναι] Est *constituere*, *efficere*, i. q. ποιεῖν, ejusque usus frequentissimus. De sententia, vid. Morgenstern. Comment. p. 112. Ast.

ἀρετὴ μὲν ἄρα] Illustravit hæc Galen. de Hippocrat. et Platon. Decret. v. p. 287. Cf. Platon. Sophist. p. 228. et Morgenstern. l. l. p. 111. Ast.

μηδὲ βελτίων γίγνηται κολαζόμενος. Ἀλλ', ἔφη, ὦ Σώ-
κρατες, γελοῖον ἔμοιγε φαίνεται τὸ σκέμμα γίγνεσθαι ἤδη,
III. i. 213. εἰ τοῦ μὲν σώματος τῆς φύσεως διαφθειρομένης δοκεῖ οὐ
βιωτὸν εἶναι οὐδὲ[y] μετὰ[z] πάντων σιτίων τε καὶ ποτῶν καὶ
παντὸς πλούτου καὶ πάσης ἀρχῆς, τῆς δὲ αὐτοῦ τούτου ᾧ
ζῶμεν φύσεως ταραττομένης καὶ[a] διαφθειρομένης βιωτὸν
ἄρα ἔσται, ἐάν πέρ τις ποιῇ ὃ ἂν βουληθῇ ἄλλο πλὴν τοῦ-
το[b] ὁπόθεν κακίας μὲν[c] καὶ ἀδικίας ἀπαλλαγήσεται, δι-
καιοσύνην δὲ καὶ ἀρετὴν κτήσεται, ἐπειδή περ ἐφάνη γε
ὄντα[d] ἑκάτερα οἷα ἡμεῖς[e] διεληλύθαμεν. Γελοῖον γάρ,[f]
ἦν δ' ἐγώ. ἀλλ' ὅμως ἐπεί περ[g] ἐνταῦθα ἐληλύθαμεν, ὅσον
οἷόν τε σαφέστατα κατιδεῖν ὅτι ταῦτα οὕτως ἔχει, οὐ χρὴ
ἀποκάμνειν. Ἥκιστα νὴ τὸν Δία,[h] ἔφη, πάντων ἀποκμη-
τέον.[i] Δεῦρο νῦν,[k] ἦν δ' ἐγώ, ἵνα καὶ ἴδῃς ὅσα καὶ[l] εἴδη
ἔχει ἡ κακία, ὡς ἐμοὶ δοκεῖ, ἅ γε δὴ[m] καὶ ἄξια θέας.
Ἕπομαι, ἔφη· μόνον λέγε. Καὶ μήν, ἦν δ' ἐγώ, ὥς περ
ἀπὸ σκοπιᾶς μοι φαίνεται, ἐπειδὴ[n] ἐνταῦθα ἀναβεβήκαμεν
τοῦ λόγου, ἓν μὲν εἶναι εἶδος τῆς ἀρετῆς, ἄπειρα δὲ τῆς
κακίας, τέτταρα δ' ἐν αὐτοῖς ἅττα ὧν[o] καὶ ἄξιον ἐπιμνησ-
θῆναι. Πῶς λέγεις; ἔφη. Ὅσοι,[p] ἦν δ' ἐγώ, πολιτειῶν
τρόποι[q] εἰσὶν εἴδη ἔχοντες, τοσοῦτοι κινδυνεύουσι καὶ ψυχῆς
τρόποι εἶναι. Πόσοι δή; Πέντε μέν, ἦν δ' ἐγώ, πολιτειῶν,
III. i. 214. πέντε δὲ ψυχῆς. Λέγε, ἔφη,[r] τίνες. Λέγω, εἶπον,[s] ὅτι εἷς
μὲν οὗτος ὃν ἡμεῖς[t] διεληλύθαμεν πολιτείας εἴη ἂν[u] τρόπος,
ἐπονομασθείη δ'[v] ἂν καὶ διχῇ. ἐγγενομένου μὲν[w] γὰρ ἀν-
δρὸς ἑνὸς ἐν τοῖς ἄρχουσι διαφέροντος βασιλεία ἂν κλη-

ἡμῖν K.—[x] τε Φr.—[y] οὐδὲ om pr Ξ.—[z] μετὰ om m.—[a] τε καὶ Ξv: om cum ipso διαφθειρομένης ΘΦr.—[b] τούτου Ξ, τοῦ τοῦτο Θ.—[c] μὲν om ΘΦr.—[d] ὄντα γε ΘΦr.—[e] οἷα καὶ ἡμεῖς q.—[f] ἂν m.—[g] ἐπειδήπερ Ξm.—[h] δί' v.—[i] libri ἀποκνητέον.—[k] νῦν ΑΘΞΠΦvmr: δὴ *s.—[l] καὶ post ὅσα om ΘΦmr.—[m] δὴ om m.—[n] ἐπειδὴ ΑΘΠΦDKqvmr: ἐπειδήπερ *s.—[o] ἂν Φr.—[p] ὅσοι σοι K.—[q] τρόπου...πολιτειῶν om Θ: τρόποι om mr.—[r] ἔφην Ξ.—[s] ἔφη ΘΦr, ἔφην m.—[t] ἡμεῖς om Φr.—[u] ἂν εἴη ΞΦ.—

ὅσον] Vide annon ὅσον mutare in ὅθεν oporteat. Steph.

ὅσον] Ni fallor, scribendum est ὅπου, ut respondeat præcedenti ἐνταῦθα. Ast.

δεῦρο δὴ] Laudat Stobæus xli. p. 254. ubi scribitur δεῦρο νῦν—ἅτε—ἐν αὐτῇ ὄντα et τοιοῦτο. In verbis ἵνα καὶ ἴδῃς particula καὶ explicativa est: scilicet, nempe, vid. quæ exempla collegimus in Ephemerid. Landishut. t. i. Fasc. ii. p. 108. et Matthiæ Gr. Gr. p. 894. Ast.

πέντε δὲ καὶ] καὶ e Stob. et Ficino (*quinque rursus et animæ*) interponendum duximus. Ast.

βασιλεία] Cf. Hippodam. in Stob. xli. p. 251. Ast.

θείη, πλειόνων δὲ ἀριστοκρατία. Ἀληθῆ, ἔφη. Τοῦτο μὲν τοίνυν, ἦν δ' ἐγώ, ἓν εἶδος λέγω· οὔτε γὰρ ἂν[x] πλείους οὔτε εἷς[y] ἐγγενόμενος[z] κινήσειεν ἂν τῶν ἀξίων λόγου νόμων[a] τῆς πόλεως, τροφῇ τε καὶ παιδείᾳ χρησάμενος ᾗ[b] διήλθομεν. Οὐ γὰρ εἰκός, ἔφη.

[v] δ' om Θ.—[w] μὲν om K.—[x] ἂν om *q*.—[y] εἰς *v*.—[z] ἐγγενόμενοι ΘΠΦDmr, ἓν γενόμενοι *v*.—[a] νόμων om Φ.—[b] ἧι ΑΘΠΦυmr: ἦν *ς.

ἐγγενόμενος] Ald. Bas. 1. 2. et Stob. ἐγγενόμενοι. Mox τινὰ post ἂν e Stob. recepimus. Etiam Ficinus vertit: *quidquam existimatione dignum in reipublicæ legibus mutabit*. Postremo Stob. ᾗ διεληλύθαμεν exhibet pro ἦν διήλθομεν. Ast.

ΠΟΛΙΤΕΙΑ,

Ε.

Steph. II. 449. — Bek. III. i. 215.

§. 1. Ἀγαθὴν μὲν τοίνυν τὴν τοιαύτην πόλιν τε καὶ πολιτείαν καὶ ὀρθὴν καλῶ, καὶ ἄνδρα τὸν[a] τοιοῦτον· κακὰς δὲ τὰς ἄλλας καὶ ἡμαρτημένας, εἴ περ αὕτη ὀρθή, περί τε πόλεων διοικήσεις καὶ περὶ ἰδιωτῶν ψυχῆς τρόπου κατασκευήν, ἐν τέτταρσι[b] πονηρίας εἴδεσιν οὔσας. Ποίας δὴ ταύτας; ἔφη.

Καὶ ἐγὼ μὲν ᾖα[c] τὰς ἐφεξῆς ἐρῶν, ὥς μοι ἐφαίνοντο ἕκασται ἐξ ἀλλήλων μεταβαίνειν· ὁ δὲ Πολέμαρχος—σμικρὸν γὰρ ἀπωτέρω τοῦ Ἀδειμάντου καθῆστο—ἐκτείνας τὴν χεῖρα καὶ λαβόμενος τοῦ ἱματίου ἄνωθεν αὐτοῦ παρὰ τὸν ὦμον,[d] ἐκεῖνόν τε προσηγάγετο καὶ προτείνας ἑαυτὸν ἔλεγεν ἄττα προσκεκυφώς,[e] ὧν[f] ἄλλο μὲν οὐδὲν κατηκού-

[a] τὸν add A.—[b] τέσσαρσι D.—[c] ἤϊα v.—[d] νόμον K.—[e] προκεκυφὼς Km.—[f] ὧν

§. 1. ἰδιωτῶν ψυχῆς τρόπου] ψυχῆς haud dubie glossema est, quum τρόπος jam mores et ingenium significet. Etiam Ficin. ψυχῆς videtur non legisse vertens: *et privatorum disciplinam*. Ast.

ᾖα] Schol. Ruhnk. p. 161. ᾖα δισυλλαβῶς τὸ ἐπορευόμην σὺν τῷ ἰῶτα γράφεται. οἵ γ' οὖν Ἴωνες ἤϊα λέγουσι καὶ ἤϊσαν τὸ ἤεσαν· καὶ παρὰ Θουκυδίδῃ οὕτως ἀναγνωστέον τὸ ἀκμάζοντας ἤϊσαν εἰς ταυτόν. οἱ δὲ Ἴωνες ἤεσαν καὶ ἤϊσαν. Cf. Etymol. M. v. ἀπῇμεν p. 121. et v. ᾔειν p. 420. Matthiæ Gr. Gr. p. 285. et Buttmann. p. 273.—Ceterum verba eundi (ἰέναι, ἔρχεσθαι) constat cum participio alius verbi ita construi, ut Latinorum futurum periphrasticum exprimant. Vid. Victor. Var. Lect. ix. 4. Valcken. ad Eurip. Phœn. p. 382. Fischer. ad Euthyphr. p. 12. et ad Weller. t. iii. p. ii. p. 43. Ast.

ἄλλο μὲν οὐδὲν—τόδε δὲ] *Nihil præter hoc*, v. ad l. ii. 3. Ast.

σαμεν, τόδε δέ, Ἀφήσομεν οὖν, ἔφη, ἤ τί[g] δράσομεν; Ἥκι- III. i. 216.
στά γε, ἔφη ὁ Ἀδείμαντος μέγα ἤδη λέγων. Καὶ ἐγώ,
Τί μάλιστα,[h] ἔφην, ὑμεῖς οὐκ ἀφίετε; Σέ, ἦ δ' ὅς. Ἔτι[i]
ἐγὼ εἶπον, τί μάλιστα; Ἀποῤῥαθυμεῖν ἡμῖν[k] δοκεῖς, ἔφη,
καὶ εἶδος ὅλον οὐ τὸ[l] ἐλάχιστον ἐκκλέπτειν τοῦ λόγου, ἵνα
μὴ διέλθῃς,[m] καὶ λήσειν οἰηθῆναι[n] εἰπὼν αὐτὸ φαύλως, ὡς
ἄρα περὶ γυναικῶν τε καὶ παίδων παντὶ δῆλον ὅτι κοινὰ
τὰ[o] φίλων ἔσται. Οὐκοῦν ὀρθῶς, ἔφην,[p] ὦ Ἀδείμαντε;
Ναί, ἦ δ' ὅς. ἀλλὰ τὸ ὀρθῶς τοῦτο, ὥς περ τἆλλα, λόγου
δεῖται,[q] τίς ὁ τρόπος τῆς κοινωνίας· πολλοὶ γὰρ ἂν[r] γένοιν-
το. μὴ οὖν παρῇς ὅν τινα σὺ λέγεις. ὡς ἡμεῖς πάλαι πε-
ριμένομεν[s] οἰόμενοί σέ που μνησθήσεσθαι[t] παιδοποιίας[u] τε[v]
πέρι, πῶς παιδοποιήσονται, καὶ γενομένους πῶς θρέψουσι,[w]
καὶ ὅλην ταύτην ἣν λέγεις κοινωνίαν γυναικῶν τε καὶ παί-
δων· μέγα γάρ τι οἰόμεθα φέρειν καὶ ὅλον εἰς[x] πολιτείαν
ὀρθῶς ἢ μὴ ὀρθῶς γιγνόμενον. νῦν οὖν ἐπειδὴ ἄλλης ἐπι-
λαμβάνει πολιτείας πρὶν[y] ταῦτα ἱκανῶς διελέσθαι, δέδοκ-
ται ἡμῖν τοῦτο ὃ σὺ ἤκουσας, τὸ σὲ[z] μὴ μεθιέναι πρὶν ἂν II. 450.

D.—[g] ὅτι K.—[h] μάλιστ' v.—[i] ἔτι ΑΘΠΦDKvmr: ὅτι ς.—[k] ἡμῖν om q et pr Ξ.—[l] οὐ τὸ οὐκ v.—[m] διέλθοις D.—[n] οἰηθῆναι ΑΠΦDKqvmr, οἰηθῆναι [ει] Θ: οἴει *ς.—[o] τὰ τῶν K.—[p] ἔφη r.—[q] δεῖται λόγου v.—[r] ἂν om ΘΦr.—[s] περιεμένομεν q.—[t] μνησθῆναι ΘΦDKqr, μνησθῆναι [αι] σεσθαι Π.—[u] οἶμαι κοινωνία καὶ μέγα τε οἰόμενοί K.—[v] τε om v.—[w] διαθρέψουσι m.—[x] εἰς τὴν m.—[y] πρὶν ἂν Φr.—[z] τόδε K, πη σε q.

μέγα—λέγων] *μέγα* non hoc, quod dicitur, respicit, ut *μέγα λέγειν* frequentissime usurpatur (vid. Fischer. ad Apolog. p. 82. Lobeck. ad Sophocl. Ajac. p. 281.) sed contentionem vocis significat, ut Erast. p. 133. B. *λέγων μέγα τῇ φωνῇ, ἵν' αὐτοῦ κατακούοι τὰ παιδικά.* Aristoph. Nub. 220. *ἀναβόησόν αὐτόν μοι μέγα.* Ast.

ὅτι—τί μάλιστα] Cod. Reg. exhibet *ἔτι*, quod esset *porro* (v. Lexic. Xenophont. v. ii. p. 379.); tunc vero ante *τί μάλιστα* poni deberet *ὅτι*; nam hæc altera interrogatio *ὅτι τί μάλιστα* (*qua tandem ex causa*, int. *ἐμὲ οὐκ ἀφίετε*) propter prægressam illam *τί μάλιστα* (*quid tandem οὐκ ἀφίετε*) necessaria est. Ast.

ἐκκλέπτειν] *Clam abducere* (Crito. p. 179. Fisch. Xenoph. Apol. c. 23.) h. l. est *surripere, defraudare.* Ast.

εἰπὼν φαύλως] *Simpliciter*, h. e. leviter ac defunctorie. Theæt. p. 147. C. *ἔπειτά γέ που ἐξὸν φαύλως καὶ βραχέως ἀποκρίνασθαι, περιέρχεται ἀπέραντον ὁδόν.* De Legib. xi. 929. A. *μὴ φαύλως οὕτω ἐξέστω μηδ' εὐθὺς τοῦτο δρᾷν.* Respicitur vero his verbis locus ille l. iv. c. 3. ubi legitur: *ὅτι δεῖ ταῦτα κατὰ τὴν παροιμίαν πάντα ὅτι μάλιστα κοινὰ τὰ τῶν φίλων ποιεῖσθαι.* ubi v. not. Ast.

τὰ τῶν φίλων] E Cod. Regio articulum *τῶν*, qui vulgo desideratur, adjecimus. Ast.

ἐπιλαμβάνει] *ἐπιλαμβάνεσθαί τινος* est *aliquid apprehendere* cum impetu quodam et celeritate, ut scilicet effugias aliud quid molestum ac difficile: id quod Adimantus Socrati h. l. exprobrat. Ast.

III. i. 217. ταῦτα[a] πάντα ὥς περ τἆλλα[b] διέλθῃς. Καὶ ἐμὲ τοίνυν, ὁ Γλαύκων ἔφη,[c] κοινωνὸν τῆς ψήφου ταύτης[d] τίθετε.[e] Ἀμέλει, ἔφη ὁ Θρασύμαχος, πᾶσι ταῦτα[f] δεδογμένα ἡμῖν νόμιζε, ὦ Σώκρατες. [§. 2.] Οἷον, ἦν δ' ἐγώ, εἰργάσασθε[g] ἐπιλαβόμενοί μου! ὅσον[h] λόγον πάλιν, ὥς περ[i] ἐξ ἀρχῆς, κινεῖτε περὶ τῆς πολιτείας! ἣν ὡς ἤδη διεληλυθὼς ἔγωγε[k] ἔχαιρον, ἀγαπῶν εἴ τις ἐάσοι[l] ταῦτα ἀποδεξάμενος ὡς τότε ἐῤῥήθη.[m] ἃ νῦν ὑμεῖς παρακαλοῦντες οὐκ ἴστε ὅσον ἑσμὸν[n] λόγων ἐπεγείρετε· ὃν ὁρῶν ἐγὼ παρῆκα[o] τότε, μὴ παράσχοι πολὺν ὄχλον. Τί δέ; ἦ δ' ὃς ὁ Θρασύμαχος· χρυσοχοήσοντας[p] οἴει τούσδε νῦν ἐνθάδε[q] ἀφῖχθαι ἀλλ' οὐ λόγων[r] ἀκουσομένους; Ναί,[s] εἶπον, μετρίων[t] γε. Μέτρον δέ γ', ἔφη, ὦ Σώκρατες, ὁ Γλαύκων, τοιούτων λόγων ἀκούειν ὅλος ὁ βίος νοῦν ἔχουσιν. ἀλλὰ τὸ μὲν ἡμέτερον ἔα· σὺ δὲ περὶ ὧν ἐρωτῶμεν μηδαμῶς ἀποκάμῃς[u] ᾗ[v] σοι δοκεῖ διεξιών, τίς ἡ κοινωνία τοῖς φύλαξιν ἡμῖν[w] παίδων τε πέρι καὶ[x] γυναικῶν ἔσται, καὶ τροφῆς νέων ἔτι ὄν-

—[a] τοῦτο K.—[b] ὥσπερ πάντα ταλλα ΘΠr, ὥσπερ ταλλα πάντα ΦDKq.—[c] ἔφη ὦ γλαύκων Φ, ὦ γλαύκων ἔφη r.—[d] ταύτης om K.—[e] τίθεται r.—[f] ταυτὰ A, ταῦτα τὰ Φ, ταυτὰ τὰ r.—[g] εἰργάσεσθε v.—[h] ὃς r et pr Θ, ὃν corr Θ.—[i] ὥσπερ om K, post ἀρχῆς ponunt ΘΦr.—[k] ἐγὼ ΘΦr.—[l] ἐάσοι AΠvm, ἐάσῃ q : ἐάσει *ς.—[m] ἐῤῥήθη AΘΠqm : ἐῤῥέθη *ς.—[n] ἐμὸν Θ.—[o] παράσχῃ ΘΦr.—[p] χρυσοχοήσαντας Πvm.—[q] ἐνταῦθα ΘΦr.—[r] λόγον m.—[s] καὶ K.—[t] μέτρον ΘΞΠΦDKqvmr : μέτριον *ς.—[u] ἀπόκαμε q.—[v] εἰ vm.—[w] ἡμῖν AΘΞΠΦDKqvmr : ἡμῶν ς.—[x] καὶ περὶ v.—[y] δο-

πρὶν ἂν ταῦτα πάντα] Cod. Reg. *πρὶν ἂν τοῦτο, ὥσπερ τἄλλα πάντα διέλθῃς.* Ficinus vero vertit: *antequam hæc omnia, quemadmodum cetera, exposuisses.* Ast.

§. 2. *ἐῤῥέθη*] Bas. 2. *ἐῤῥήθη*, quæ promiscui usus sunt; vid. Heind. ad Gorg. §. 36. Mox Bas. 2. *ἡμεῖς*, vitiose. Ast.

ἑσμὸν λόγων ἐπεγείρετε] Respexit Porphyr. de Abstin. i. c. 34. *ἐξ ὧν αἱ μνῆμαι καὶ αἱ φαντασίαι αἵ τε δόξαι ἀνθροιζόμεναι ἑσμὸν τῶν παθῶν ἐγείρουσαι*, et illustravit hanc similesque loquendi rationes Heusd. in Spec. Crit. p. 110. Ast.

παράσχοι ὄχλον] *ὄχλον* (i. e. *ὄχλησιν* v. interpp. ad Thom. M. p. 667.) *παρέχειν*, *molestiam exhibere*, *molestum esse*, frequentis usus est, ut Phædon. p. 84. D. *ὀκνεῖν δὲ ὄχλον παρέχειν*, ubi v. Fisch. Ast.

χρυσοχοήσοντας] H. e. *ut se decipi, magnamque sibi spem eripi patiantur.* *Χρυσοχοεῖν*, *aurum fundere*, proverbialiter dicitur, quem magna, quam animo conceperat, spes frustratur. Proverbii originem exponunt Suidas h. v. et Erasm. Adag. Chil. iii. Centur. iv. 36. p. 588. Ast.

μέτρον] Scripsimus, sensu postulante pro *μέτριον* præeunte Ficino: *modus vero et terminus horum sermonum.* Ast.

ᾗ σοι δοκεῖ] Ficinus vertit, ac si legisset: *εἰ σοὶ δοκεῖ*—. *Tu vero ne graveris, si tibi videtur.* Ad verbum ita: *Tu vero ne graveris, qua optime tibi visum fuerit.* Faehse. Bas. 1. 2. *ἧ* pro *ᾗ*. Ast.

ἡμῖν] Sic Ald. Bas. 1. et 2. quod Steph. sine causa in *ἡμῶν* mutavit. *τίς ἡ κοινωνία ἡμῖν ἔσται* est: *quam communionem statuere debeamus.* Ast.

τροφῆς] Verba sic conjunge: *τροφῆς—τῆς γιγνομένης ἐν τῷ χρόνῳ μεταξὺ γενέσεώς τε καὶ παιδείας.* Ast.

των τῆς ἐν τῷ μεταξὺ χρόνῳ γιγνομένης γενέσεώς τε καὶ
παιδείας, ἣ δὴ ἐπιπονωτάτη δοκεῖ[y] εἶναι. πειρῶ οὖν[z] εἰπεῖν
τίνα τρόπον δεῖ γίγνεσθαι αὐτήν. Οὐ ῥᾴδιον, ὦ εὔδαιμον,[a] III. i. 218.
ἦν δ' ἐγώ, διελθεῖν· πολλὰς γὰρ ἀπιστίας ἔχει ἔτι μᾶλ-
λον τῶν ἔμπροσθεν ὧν διήλθομεν. καὶ[b] γὰρ ὡς δυνατὰ λέ-
γεται,[c] ἀπιστοῖτ' ἄν· καὶ εἰ ὅτι μάλιστα γένοιτο, ὡς[d]
ἄριστ' ἂν εἴη ταῦτα, καὶ ταύτῃ ἀπιστήσεται.[e] διὸ δὴ καὶ
ὄκνος τις αὐτῶν ἅπτεσθαι, μὴ εὐχὴ δοκῇ[f] εἶναι ὁ λόγος, ὦ
φίλε[g] ἑταῖρε. Μηδέν, ἦ δ' ὅς, ὄκνει· οὔτε γὰρ ἀγνώμονες
οὔτε ἄπιστοι οὔτε δύσνοι οἱ ἀκουσόμενοι.[h] Καὶ ἐγὼ εἶπον
Ὦ ἄριστε, ἦ που βουλόμενός με[i] παραθαῤῥύνειν λέγεις;
Ἔγωγ', ἔφη. Πᾶν τοίνυν, ἦν δ' ἐγώ, τοὐναντίον ποιεῖς.
πιστεύοντος μὲν[k] γὰρ ἐμοῦ ἐμοὶ εἰδέναι ἃ λέγω, καλῶς
εἶχεν ἡ[l] παραμυθία·[m] ἐν γὰρ φρονίμοις τε καὶ φίλοις πε-
ρὶ τῶν μεγίστων τε καὶ φίλων[n] τἀληθῆ εἰδότα λέγειν ἀσ-
φαλὲς καὶ θαῤῥαλέον, ἀπιστοῦντα δὲ καὶ ζητοῦντα ἅμα
τοὺς λόγους ποιεῖσθαι, ὃ δὴ[o] ἐγὼ δρῶ, φοβερόν τε καὶ σφα-
λερόν, οὔ τι[p] γέλωτα ὄφλειν—παιδικὸν γὰρ τοῦτό γε—, II. 451.
ἀλλὰ μὴ σφαλεὶς τῆς ἀληθείας οὐ μόνον[q] αὐτὸς ἀλλὰ
καὶ τοὺς φίλους ξυνεπισπασάμενος[r] κείσομαι, περὶ ἃ ἥκιστα
δεῖ σφάλλεσθαι.[s] προσκυνῶ δὲ Ἀδράστειαν, ὦ Γλαύκων,
χάριν οὗ μέλλω λέγειν· ἐλπίζω γὰρ οὖν ἔλαττον ἁμαρ-

κεῖ ἐπιπονωτάτη Φr.—[z] ἂν Am.—[a] εὐδαίμων ΠDK, εὐδαῖμον ΘΦr.—[b] κἂν K.—
ε ται
[c] λέγηται K.—[d] καὶ ὡς ΘΦr.—[e] ἀπιστησέται Θ, ἀπιστήσετε D, ἀπιστήσετι K.
—[f] δοκεῖ ΘΠΦDK, δοκοί Ξ, δοκῇ corr A.—[g] φίλε om Φr.—[h] ἀκούσομέν σου q.
—[i] γε DK.—[k] μὲν om DK et pr Ξ.—[l] ἡ om Dq.—[m] παραμυθεῖσθαι q.—[n] οὐ φαύ-
λων q.—[o] δὴ om Θ.—[p] οὔτοι ΦKqr.—[q] οὐ μόνον αὐτὸς ἀλλὰ om Φ.—[r] ξυνεπιστά-

διὸ δή] Ald. et Bas. 1. διὸ δέ. Ast.

εὐχή] Ut Latinorum *votum*. Sic vi. 12. vii. 17. de Legib. viii. p. 841. C. Hinc *εὐχαῖς ὅμοια* (v. 6.) vid. Victor. Var. Lect. xx. 6. Ast.

ἐν γὰρ φρονίμοις—ὄφλειν] Laudat Stob. i. p. 24. in quo verba *τε καὶ φίλων* desiderantur. Ast.

οὔτι] Cod. Reg. *οὔτοι*, male, vid. ad l. ii. p. 358. C. Ast.

φίλους ξυνεπισπασάμενος] Vid. Hemsterh. ad Lucian. Nigrin. §. 11. t. i. p. 215. ed. Bip. et de *μὴ* cum futuro cf. Hermann. ad Viger. p. 776. De Adrastea v. nostra ad Phædr. p. 306. et Buonarotti Osserv. Istor. sopra alcuni medagl. n. xi. p. 221. Ceterum male huc trahunt *βασκανίαν* vel *φθόνον*, quasi sensus sit, *invidiam deprecor*, absit verbo invidia (sic Wyttenbach. ad Phædon. p. 95. B. hunc locum cepit; cf. Erasm. Adag. Chil. ii. Centur. vi. 38. p. 434. et Harduin. ad Themist. Orat. xxxi. p. 354. C.). Sensus potius est: *adoro*, i. e. precor, *Adrasteam* s. Nemesin, *ne propter ea, quæ dicturus sum, me puniat: namque me peccaturum esse intelligo, idque graviter, si quidem in bono, justo ac pulcro vos amicos decepturus sim.* Ast.

III. i. 219. τημα ἀκουσίως τινὸς φονέα γενέσθαι ἢ ἀπατεῶνα καλῶν τε καὶ ἀγαθῶν καὶ δικαίων καὶ νομίμων[t] πέρι.[u] τοῦτο[w] οὖν τὸ κινδύνευμα κινδυνεύειν ἐν ἐχθροῖς κρεῖττον ἢ φίλοις, ὥστε οὐκ[x] εὖ με παραμυθεῖ.[y] Καὶ ὁ Γλαύκων γελάσας Ἀλλ',[z] ὦ Σώκρατες, ἔφη, ἐάν τι πάθωμεν πλημμελὲς ὑπὸ τοῦ[a] λόγου, ἀφίεμέν σε ὥς περ φόνου καθαρὸν[b] εἶναι καὶ μὴ ἀπατεῶνα ἡμῶν. ἀλλὰ θαῤῥήσας λέγε. Ἀλλὰ μέντοι, εἶπον, καθαρός γε καὶ[c] ἐκεῖ ὁ[d] ἀφεθείς, ὡς ὁ νόμος λέγει· εἰκὸς δέ γε,[e] εἴ περ ἐκεῖ, κἀνθάδε. Λέγε τοίνυν, ἔφη, τούτου[f] γ' ἕνεκα. Λέγειν δή,[g] ἔφην ἐγώ, χρὴ ἀνάπαλιν αὖ νῦν, ἃ τότε[h] ἴσως ἔδει ἐφεξῆς λέγειν. τάχα δὲ οὕτως ἂν ὀρθῶς ἔχοι,[i] μετὰ[j] ἀνδρεῖον δρᾶμα[k] παντελῶς διαπερανθὲν τὸ γυναικεῖον αὖ περαίνειν, ἄλλως τε καὶ ἐπειδὴ σὺ οὕτω προκαλεῖ.

§. 3. Ἀνθρώποις γὰρ φῦσι καὶ παιδευθεῖσιν ὡς ἡμεῖς διήλθομεν, κατ' ἐμὴν δόξαν οὐκ ἔστ'[l] ἄλλη ὀρθὴ παίδων τε καὶ γυναικῶν κτῆσίς τε καὶ χρεία ἢ κατ' ἐκείνην τὴν ὁρμὴν ἰοῦσιν ἥν περ τὸ πρῶτον ὡρμήσαμεν. ἐπεχειρήσαμεν δέ που ὡς ἀγέλης φύλακας τοὺς ἄνδρας καθιστάναι τῷ λόγῳ. Ναί. Ἀκολουθῶμεν τοίνυν καὶ τὴν γένεσιν καὶ τροφὴν παραπλησίαν ἀποδιδόντες, καὶ σκοπῶμεν εἰ ἡμῖν[m]
III. i. 220. πρέπει[n] ἢ οὔ. Πῶς; ἔφη. Ὧδε.[o] τὰς θηλείας τῶν φυλάκων κυνῶν πότερα ξυμφυλάττειν οἰόμεθα δεῖν ἅ περ ἂν[p] οἱ ἄῤῥενες φυλάττωσι[q] καὶ ξυνθηρεύειν καὶ τἆλλα κοινῇ[r]

μενος K.—[s] σφάλλεσθαι δεῖ Φr.—[t] δικαίων νομίμων ΑΠDKqvm, νομίμων καὶ δικαίων Φ.—[u] περὶ τοῦτο ς.—[w] τοῦτ' r.—[x] οὐκ add q.—[y] παραμυθεῖ ΞΦDvmr.—[z] ἀλλ' om Φr.—[a] σου m.—[b] φόνου καὶ καθαρὸν Am.—[c] καὶ om Θ.—[d] ὁ ἐκεῖ v.—[e] γε om K.—[f] τοῦ v.—[g] δὲ Am.—[h] ἃ τότε v: ἅ ποτε *ς.—[i] ἔχοι om Φ.—[j] post μετὰ omisi τὸ cum ΑΘΞΠΦDKqvmr.—[k] δρᾶγμα Ξ.—[l] ἔστ' ΑΞm: ἔσται *ς.—[m] ὑμῖν Φr.—[n] πρέποι Θ.—[o] ἔδει Φ.—[p] ἂν om Θ.—[q] φυλάττουσιν D.—[r] κοινῶς K.—[s] τὴν q.—

νομίμων πέρι] Sic Cod. Reg. quod Ficinus confirmat, ut qui verterit: *quam qui circa constitutiones de honestis et bonis justisque fallit. Hoc autem discrimen subire præstat.* Vulgo scribitur *νομίμων περὶ τοῦτο*. Ast.

κινδύνευμα κινδυνεύειν] Vid. ad x. p. 603. C. Ast.

εὖ με] Vel ante εὖ ponenda est negativa particula οὐκ, vel hæc ut ironice dicta sunt accipienda. Steph.

εὖ με] Sic Ald. Bas. 1. et 2. Olim αὖ reposuimus, Ficinum secuti, qui vertit: *quare melius* (*αὖ iterum*) *me confirma;* nunc vero cum Cornario et Stephano οὐκ εὖ pro genuino habeo. Ast.

εἰκὸς δὲ] Sic Cod. Reg. Vulgo εἰκὸς δέ γε. Ast.

τούτου γ' ἕνεκα] De hoc supra jam exposuimus. Ast.

§. 3. τὰς θηλείας τ. φυλακ.] Laudat Galen. de Hippocrat. et Platon. Decret. ix. p. 331. v. 55. t. i. Bas. Ast.

φυλάττωσι] Ald. Bas. 1. et 2. φυλάττουσι. Ast.

πράττειν, ἢ τὰς μὲν οἰκουρεῖν ἔνδον ὡς ἀδυνάτους διὰ τὸν[s]
τῶν σκυλάκων τόκον τε καὶ τροφήν, τοὺς δὲ πονεῖν τε καὶ
πᾶσαν ἐπιμέλειαν ἔχειν περὶ τὰ ποίμνια; Κοινῇ, ἔφη,
πάντα· πλὴν ὡς ἀσθενεστέραις χρώμεθα, τοῖς δὲ[t] ὡς ἰσχυ-
ροτέροις. Οἷόν τ' οὖν, ἔφην ἐγώ, ἐπὶ τὰ αὐτὰ χρῆσθαί τινι
ζώῳ, ἂν μὴ τὴν αὐτὴν τροφήν τε καὶ παιδείαν ἀποδιδῷς;
Οὐχ οἷόν τε. Εἰ ἄρα ταῖς γυναιξὶν ἐπὶ ταὐτὰ χρησόμεθα
καὶ[u] τοῖς ἀνδράσι, ταὐτὰ καὶ διδακτέον αὐτάς; Ναί. II. 452.
Μουσικὴ μὲν ἐκείνοις τε[v] καὶ γυμναστικὴ ἐδόθη; Ναί.
Καὶ ταῖς γυναιξὶν ἄρα τούτω[w] τὼ[x] τέχνα καὶ τὰ περὶ τὸν
πόλεμον ἀποδοτέον, καὶ χρηστέον κατὰ ταὐτά; Εἰκὸς ἐξ
ὧν λέγεις, ἔφη.[y] Ἴσως δή, εἶπον, παρὰ τὸ ἔθος γέλοια[z]
ἂν φαίνοιτο πολλὰ περὶ[a] τὰ νῦν λεγόμενα, εἰ πεπράξεται[b]
ᾗ λέγεται.[c] Καὶ μάλα, ἔφη. Τί, ἦν δ' ἐγώ, γελοιότα-
τον αὐτῶν ὁρᾷς; ἢ δῆλα δὴ ὅτι γυμνὰς τὰς γυναῖκας ἐν
ταῖς παλαίστραις γυμναζομένας[d] μετὰ τῶν ἀνδρῶν, οὐ
μόνον τὰς νέας ἀλλὰ καὶ ἤδη[e] τὰς πρεσβυτέρας, ὥσπερ III. i. 221.
τοὺς γέροντας ἐν τοῖς γυμνασίοις, ὅταν ῥυσοὶ[f] καὶ μὴ ἡδεῖς
τὴν ὄψιν ὅμως φιλογυμναστῶσιν;[g] Νὴ τὸν Δί',[h] ἔφη· γέ-
λοιον γὰρ ἄν, ὥς γε[i] ἐν τῷ παρεστῶτι,[k] φανείη.[l] Οὐκοῦν,
ἦν δ' ἐγώ, ἐπείπερ ὡρμήσαμεν λέγειν, οὐ φοβητέον[m] τὰ
τῶν χαριέντων σκώμματα, ὅσα καὶ οἷ' ἂν εἴποιεν εἰς τὴν

[t] δ' r.—[u] καὶ ante τοῖς om Φ.—[v] τε om m.—[w] τοσούτω m.—[x] τὰ ΦKr.—[y] ἔφη λέγεις ΘΦr.—[z] γέλοια ΘΠD. item 510, 7.—[a] παρὰ ΘΦr.—[b] πεπράξεται q, πράξετε Φr : πράξεται *s.—[c] λέγετε Φr.—[d] γυμναζομέναις Ξ.—[e] καὶ ἤδη ΑΘΠΦDKqrmr : ἤδη καὶ *s.—[f] ῥυσοὶ ΞΠΦmr : ῥυσσοὶ *s.—[g] φιλογυμνασθῶσι DK.—[h] Δί' r.—[i] γ' om pr Θ.—[k] παρόντι K.—[l] φανῆναι Φr.—[m] φορητέον Φr.—[n] ἂν add q.—[o] ὀχλή-

ὡς ἀσθενεστέραις] Deesse puto *ταῖς μὲν* ante *ὡς ἀσθενεστέραις*: ut sequitur *τοῖς δὲ* ante *ὡς ἰσχυροτέροις*. Steph.

ὡς ἀσθενεστέραις] Haud dubie *ταῖς μὲν*, quod in Ald. Bas. 1. 2. Steph. desideratur, e Galeno reponendum, ut Ficinus quoque vertit: *Nisi quod feminis ut imbecillioribus.* Nam etsi ante *οἱ δὲ* sæpe *οἱ μὲν* omittitur, tamen h. l. orationis perspicuitas videtur *ταῖς μὲν* postulare. Ast.

ἐπὶ τὰ αὐτὰ] Sic Bas. 2. et Galen. Mox *ἐκείνοις καὶ γυμναστική*, omisso *τὲ*, Galen. Paulo post *ἀποδοτέον τε καὶ χρηστέον*. Ast.

ἴσως δὴ] Laudat Euseb. Præp. Evang. xiii. 19. p. 706. A. Cf. Theodoret. de Cur. Græc. Affect. ix. p. 129. Ast.

παρὰ τὸ ἔθος] Euseb. *εἰωθὸς*, et mox *νῦν δὴ λεγόμενα*. Ast.

τί δ' ἦν] Sic Euseb. Vulgo *δ'* abest. Ast.

ἢ δηλαδὴ] Ex iis quæ antea annotavi, perspicere poterit lector, hic quoque scribendum esse *ἢ δῆλα δή*. Steph.

γυμνὰς τὰς γυναῖκας] More Lacedæmoniorum, vid. Thucyd. i. 6. Plat. Theæt. 162. B. Propert. iii. 14. 3. Plutarch. vit. Lycurg. p. 47. F. Crag. de Republica Lacedæmoniorum, iii. 9. §. 4. et Perizon. ad Ælian. Var. Hist. iii. 38. p. 226. Ast.

τοιαύτην μεταβολὴν γενομένην ἂν[n] καὶ περὶ τὰ γυμνάσια καὶ περὶ μουσικὴν καὶ οὐκ ἐλάχιστα περὶ τὴν τῶν ὅπλων σχέσιν καὶ ἵππων ὀχήσεις;[o] Ὀρθῶς, ἔφη, λέγεις. Ἀλλ' ἐπεί περ λέγειν ἠρξάμεθα, πορευτέον πρὸς τὸ τραχὺ τοῦ νόμου, δεηθεῖσί τε τούτων μὴ τὰ αὑτῶν πράττειν ἀλλὰ σπουδάζειν, καὶ ὑπομνήσασιν ὅτι οὐ πολὺς χρόνος ἐξ οὗ τοῖς Ἕλλησιν ἐδόκει αἰσχρὰ εἶναι καὶ γέλοια ἅ περ[p] νῦν τοῖς[q] πολλοῖς τῶν βαρβάρων, γυμνοὺς ἄνδρας[r] ὁρᾶσθαι. καὶ ὅτε ἤρχοντο τῶν γυμνασίων πρῶτοι[s] μὲν Κρῆτες, ἔπειτα Λακεδαιμόνιοι,[t] ἐξῆν τοῖς τότε ἀστείοις πάντα ταῦτα[u] κωμῳδεῖν. ἢ οὐκ οἴει; Ἔγωγε. Ἀλλ' ἐπειδή, οἶμαι, χρωμένοις ἄμεινον τὸ ἀποδύεσθαι τοῦ συγκαλύπτειν πάντα τὰ τοιαῦτα[v] ἐφάνη, καὶ τὸ ἐν τοῖς[w] ὀφθαλμοῖς δὴ γέλοιον
III. i. 222. ἐξερρύη ὑπὸ τοῦ ἐν τοῖς λόγοις μηνυθέντος ἀρίστου, καὶ τοῦτο[x] ἐνεδείξατο, ὅτι μάταιος ὃς γέλοιον ἄλλο τι ἡγεῖται[y] ἢ[z] τὸ κακόν, καὶ ὁ γελωτοποιεῖν ἐπιχειρῶν πρὸς ἄλ-

σεις ΘΠΦr.—[p] ὥσπερ K.—[q] τοῖς om rm.—[r] τοὺς ἄνδρας Φr.—[s] πρῶτοι ΑΘΞΦrmr, πρῶτα q: πρῶτον *ς.—[t] λακεδαιμονίοις r.—[u] πάντα ταῦτα ΑΞqvm: ταῦτα πάντα *ς.—[v] τὰ τοιαῦτα πάντα Φr.—[w] τοῖς om Kq.—[x] τούτου Π.—[y] ἡγεῖται om Φ.—[z] ἢ

Κρῆτες—Λακεδαιμόνιοι] Vid. supra laudatos scriptores. Cf. Thucyd. l. l. P. Fabri Agonist. ii. 4. in Gronov. Thes. Ant. Græc. t. viii. p. 1943. et Heind. ad Theæt. §. 50. Ast.

χρωμένοις] χρῆσθαι, de exercitatione gymnastica, ut Xenoph. Mem. iii. 5. 14. ὁμοίως μὲν τοῖς αὐτοῖς χρώμενοι, quod §. 15. est σωμασκεῖν. Ast.

πάντα τὰ τοιαῦτα] Nihil habent hæc verba, quo referantur; nam cum ξυγκαλύπτειν conjuncta ineptum darent sensum. Ni fallor, propter postremam præcedentis verbi syllabam ειν præpositio εἰς, vel Attice ἐς, excidit, ut εἰς consilium indicet, et verba πάντα τὰ τοιοῦτα varias gymnasticæ artis exercitationes hisque similia significent. Ast.

ἐνδείξατο] Sensu reciproco, *se offendit*, i. e. apparuit; sic αὐτὸ δείξει, non, ut explicant, *res ipsa offendet*, sed *per se apparebit*. Hipp. Maj. p. 288. B. ἐδήλωσε. Xenoph. Cyrop. vii. 1. §. 30. Mem. i. 232. δηλοῖ. Aristot. Polit. iv. 11. p. 115. ed. Schneid. Exempla laudant Gataker ad M. Anton. xi. §. 15. Valcken. ad Eurip. Phœn. 626. et Heind. ad Hipp. Maj. §. 18. Ast.

σπουδάζειν] In præced. edit. scriptum est σπουδάζει, non ἢ σπουδάζειν: sed hanc lectionem agnoscit et Ficin. ac manifestum est cum σπουδάζειν repetendum esse ἐπιχειρῶν, quod positum fuit cum illius contrario γελωτοποιεῖν. Steph.

ὅτι μάταιος] Laudat hæc Stob. i. p. 24. A. In verbis quæ sequuntur, plura sunt, quæ correctione indigeant, quanquam sine librorum scriptorum auctoritate nihil mutare volui. Libri editi, Stob. et cod. Reg. legunt σπουδάζει (σπουδάζειν est Stephani correctio); hinc puto pro ὁ γελωτοποιεῖν ἐπιχειρῶν legendum esse καὶ γελωτοποιεῖν ἐπιχειρεῖ —ἢ σπουδάζει. Plane sic Ficin. vertit: *qui deridendum quidquam—existimat irridereque aggreditur—aut honestum quidquam—existimat* (σπουδάζει). Deinde ante vel post σπουδάζει nonnulla excidisse, docent Cod. Reg. Stob. et Ficinus. Cod. Reg. enim legit: καὶ καλοῦ αὖ σπουδάζει πρὸς, et Stob. καὶ καλοῦ ἂν σπουδάζει εἰς, Ficinus vero vertit: *aut honestum quidquam studio dignum existimat.* Ni fallor, legendum est: ἢ περὶ καλοῦ αὖ σπουδάζει. Ast.

λην τινα[a] ὄψιν ἀποβλέπων ὡς γελοίου ἢ τὴν τοῦ ἄφρονός τε
καὶ κακοῦ, ἢ[b] σπουδάζει[c] πρὸς ἄλλον τινὰ σκοπὸν στησά-
μενος ἢ τὸν τοῦ ἀγαθοῦ. Παντάπασι μὲν οὖν, ἔφη.
[§. 4.] Ἆρ' οὖν[d] οὐ πρῶτον μὲν τοῦτο[e] περὶ αὐτῶν[f] ἀνο-
μολογητέον, εἰ δυνατὰ ἢ οὔ, καὶ δοτέον ἀμφισβήτησιν, εἴ
τέ τις φιλοπαίσμων[g] εἴτε σπουδαστικὸς ἐθέλει[h] ἀμφισβη-
τῆσαι, πότερον δυνατὴ φύσις ἡ ἀνθρωπίνη ἡ θήλεια τῇ τοῦ II. 453.
ἄῤῥενος γένους κοινωνῆσαι[i] εἰς ἅπαντα τὰ ἔργα ἢ οὐδ' εἰς
ἕν, ἢ εἰς τὰ μὲν οἷά τε, εἰς δὲ τὰ[k] οὔ, καὶ τοῦτο δὴ τὸ πε-
ρὶ τὸν πόλεμον ποτέρων ἐστίν; ἆρ' οὐχ οὕτως ἂν κάλλιστά
τις ἀρχόμενος, ὡς[l] τὸ εἰκός, καὶ κάλλιστα τελευτήσειεν;
Πολύ γε,[m] ἔφη. Βούλει οὖν, ἦν δ' ἐγώ, ἡμεῖς πρὸς ἡμᾶς[n]
αὐτοὺς ὑπὲρ τῶν ἄλλων ἀμφισβητήσωμεν,[o] ἵνα μὴ ἔρημα
τὰ τοῦ ἑτέρου λόγου πολιορκῆται; Οὐδέν, ἔφη, κωλύει.
Λέγωμεν[p] δὴ ὑπὲρ αὐτῶν ὅτι Ὦ Σώκρατές τε[q] καὶ Γλαύ-
κων, οὐδὲν δεῖ[r] ὑμῖν[s] ἄλλους ἀμφισβητεῖν· αὐτοὶ γὰρ ἐν
ἀρχῇ τῆς κατοικίσεως,[t] ἣν ᾠκίζετε πόλιν, ὡμολογεῖτε[u] δεῖν
κατὰ φύσιν ἕκαστον ἕνα[v] ἓν τὸ αὑτοῦ πράττειν. Ὡμολο- III. i. 223.
γήσαμεν, οἶμαι· πῶς γὰρ οὔ; Ἔστιν οὖν ὅπως οὐ πάμ-
πολυ διαφέρει γυνὴ ἀνδρὸς τὴν φύσιν; Πῶς δ' οὐ διαφέρει;
Οὐκοῦν ἄλλο καὶ[w] ἔργον ἑκατέρῳ προσήκει προστάττειν
τὸ κατὰ τὴν αὑτοῦ[x] φύσιν; Τί μήν; Πῶς οὖν οὐχ ἁμαρ-

om K.—[a] τινὰν Π.—[b] καὶ καλοῦ αὖ ΠDKrm, καὶ οὐ καλοῦ αὖ q: om ΘΞΦr.—[c] σπουδάζει ΑΘΞΠΦDKqvmr: σπουδάζειν *s.—[d] οὖν om D.—[e] τοῦτον v.—[f] αὐτῶν Ξqv: αὐτὸν *s.—[g] φιλοπαίσμων Am, φιλοπαίσμων Π, φιλοπαίγμων Θ: φιλοπαίγμων *s.—[h] ἐθέλοι Ξ.—[i] γένους φύσει κοινωνῆσαι q.—[k] τὰ δὲ Φr.—[l] εἰς r.—[m] γ' r.—[n] ὑμᾶς Φ.—[o] ἀμφισβητήσομεν ΞDKm.—[p] λέγω μὲν Ξm, λέγομεν Kv.—[q] τε om q.—[r] δέος r.—[s] ἡμῖν Φ.—[t] κατοικήσεως Φmr et pr Ξ.—[u] ὁμολογεῖτε rm.—[v] ἕνα om ΘΦr.—[w] καὶ om m.—[x] ἑαυτοῦ ΘΦr.—[y] πλεῖστον om Φr.—[z] τι add ΑΘΞ

(γ and σ are printed as interlinear letters above the readings in note g.)

§. 4. *φιλοπαίγμων*] Schol. Ruhnk. *φιλοπαίσμων, Ἀττικῶς ὁ φιλοπαίγμων.* Sed libri scripti constanter *φιλοπαίγμων*, ut et in Cratylo p. 406. C. Ast.

φύσις—ἡ θήλεια] Vide quæ Aristoteles in his, ut in omnibus fere aliis, Platoni inimicus disputat in Polit. i. 8. (§. 5. ed. Schneid. p. 33.) ii. 1. ii. 3. (ii. 2. §. 15. Schn.) cf. de Legib. vi. p. 781. A. Apulei. p. 27. Lactant. iii. 21. Ast.

Βούλει οὖν] Laudat Galen. libr. laud. ix. p. 332. v. 6. usque ad *ἀπολογεῖσθαι*, ubi *ἀμφισβητήσομεν* (sic et Ald. Bas. 1. et 2.)—*πολιορκεῖται* et *λέγομεν* scriptum reperitur. Ast.

ὑμῖν] Sic recte Ald. Galen. et Steph. Bas. 1. exhibet *ἡμῖν* et Bas. 2. *ἡμᾶς*. Etiam Ficinus vertit: *Nihil opus est, o Socrates et Glauco, ut alii vobis repugnent.* Sensus est, *non opus est alio, qui vos refellat, quia ipsi vobis repugnatis*; quod quidem in sequentibus exponitur. Quocirca Heusdii conjectura (Spec. Crit. p. 119.) *ἀλλήλους* supersedere possumus. Ast.

τάνετε νῦν καὶ τἀναντία ὑμῖν αὐτοῖς λέγετε, φάσκοντες αὖ τοὺς ἄνδρας καὶ τὰς γυναῖκας δεῖν τὰ αὐτὰ πράττειν πλεῖστον[y] κεχωρισμένην φύσιν ἔχοντας; Ἕξεις τι,[z] ὦ θαυμάσιε, πρὸς ταῦτ' ἀπολογεῖσθαι; Ὡς μὲν ἐξαίφνης, ἔφη, οὐ πάνυ ῥᾴδιον· ἀλλὰ σοῦ δεήσομαί τε καὶ δέομαι καὶ τὸν ὑπὲρ ἡμῶν λόγον, ὅς τίς ποτ' ἔστιν, ἑρμηνεῦσαι. Ταῦτ' ἐστίν, ἦν δ' ἐγώ, ὦ Γλαύκων, καὶ ἄλλα πολλὰ τοιαῦτα, ἃ ἐγὼ πάλαι προορῶν ἐφοβούμην τε καὶ ὤκνουν ἅπτεσθαι τοῦ νόμου τοῦ περὶ τὴν[a] τῶν γυναικῶν καὶ παίδων κτῆσιν καὶ τροφήν. Οὐ μὰ τὸν Δία,[b] ἔφη, οὐ γὰρ εὐκόλῳ[c] ἔοικεν. Οὐ γάρ, εἶπον. ἀλλὰ δὴ ὧδ' ἔχει· ἄν τέ[d] τις εἰς κολυμβήθραν μικρὰν ἐμπέσῃ ἄν τε εἰς τὸ μέγιστον[e] πέλαγος μέσον, ὅμως γε νεῖ οὐδὲν ἧττον. Πάνυ μὲν οὖν. Οὐκοῦν καὶ ἡμῖν νευστέον καὶ πειρατέον σώζεσθαι ἐκ τοῦ λόγου,
III. i. 224. ἤτοι δελφῖνά τιν'[f] ἐλπίζοντας[g] ἡμᾶς[h] ὑπολαβεῖν[i] ἂν ἤ τινα ἄλλην ἄπορον[k] σωτηρίαν; Ἔοικεν, ἔφη. Φέρε δή, ἦν δ'[l] ἐγώ, ἐάν πῃ εὕρωμεν τὴν ἔξοδον. ὡμολογοῦμεν[m] γὰρ δὴ[n]

ΠΦυmr.—[a] τὴν om m.—[b] δι' vr.—[c] εὐκόλως qv.—[d] ἐάν Ξ.—[e] μέσον Φr.—[f] τι Π. κείμενον —[g] ἐλπίζοντες K.—[h] post ἡμᾶς hæc habet margo r: καθ' ὃν τρόπον καὶ ἀρίωνα τὸν μηθυμναῖον κιθαριστήν.—[i] ἀπολαβεῖν ς: conf. Hemsterhus. ad Lucian. i. p. 308. b.—[k] εὔπορον K.—[l] δὲ r.—[m] ὁμολογοῦμεν Π, ὁμολογοῦμεν (ώ) Arm.—[n] δὴ om ΘΦr.—

νῦν] Galen. νυνί, quod ut Atticum recepissem, nisi tam multa loca essent, in quibus libri omnes νῦν exhibent, quæ quidem omnia ad purioris Atticismi rationes corrigenda essent, si in his nobismet ipsis constare vellemus. Nos revera nonnisi umbram Platonicæ orationis sequimur, nisi libri inveniuntur scripti, e quibus Plato vere Atticus prodire poterit. Ast.

ἕξεις τι] τι e Bas. 2. et Galeno recepimus. Mox Οὐ, μὰ τὸν Δία, ἔφη, οὐ γὰρ cet. interpungendum est; vulgo οὐ μὰ τὸν Δία, ἔφη οὐ γάρ. Οὐ—οὐ iteratio (diplasiasmus) est Platoni admodum frequens, vid. exempla nobis ad Phædr. p. 273. laudata, quibus addere potes Diphili vel Philemonis versus apud Clem. Alex. Strom. v. (v. Rittershus. ad Isidor. Pelusiot. Epist. lib. iii. Epist. 413.) Ὁρᾶσθ' ὅσοι δοκεῖτε οὐκ εἶναι θεόν· Ἔστιν γάρ, ἔστιν. Æsch. Prom. 338. Αὐχῶ γάρ, αὐχῶ. Philostr. Heroic. p. 64. ed. Boisson. ὁρῶνται δὴ—ὁρῶνται ἔτι. p. 194. γέγονε γάρ, ξένε, γέγονε ποιητὴς Ὅμηρος. Ast.

ἄν τέ τις ἐς κολυμβήθραν] Illustravit h. l. Victor. Var. Lect. iii. 10. Ast.

ὑπολαβεῖν ἂν] Sic Hemsterh. ad Lucian. t. ii. p. 371. Bip. et Heusd. Spec. Crit. p. 31. legi jusserunt, addicente Ficino, qui vertit, *aut Delphinum aliquem nos suscepturum.* Quanquam haud scio, an vulgata scriptura retinenda sit. Est enim ἀπολαβεῖν secum *auferre*, ideoque *periculo eripere*, quod hoc loco egregie quadrat. Quocirca me pœnitet fere, nimis festinanter virorum præstantissimorum conjecturam recepisse. Ceterum accusativi ἐλπίζοντας de more nomen verbale πειρατέον sequitur, de quo supra jam exposuimus. Mox Cod. Reg. εὔπορον, sed ἄπορον σωτ. est *incertam*, h. e. inexspectatam salutem. Ast.

ἄλλην φύσιν ἄλλο δεῖν[o] ἐπιτηδεύειν, γυναικὸς δὲ καὶ ἀνδρὸς ἄλλην εἶναι· τὰς δὲ ἄλλας φύσεις τὰ αὐτά φαμεν νῦν δεῖν ἐπιτηδεῦσαι. ταῦτα ἡμῶν κατηγορεῖτε; Κομιδῇ[p] γε. Ἦ γενναία, ἦν δ' ἐγώ, ὦ Γλαύκων, ἡ δύναμις τῆς II. 454.
ἀντιλογικῆς τέχνης. Τί δή; Ὅτι, εἶπον, δοκοῦσί μοι εἰς αὐτὴν καὶ ἄκοντες πολλοὶ ἐμπίπτειν, καὶ οἴεσθαι οὐκ ἐρίζειν[q] ἀλλὰ διαλέγεσθαι, διὰ τὸ μὴ δύνασθαι κατ' εἴδη διαιρούμενοι τὸ λεγόμενον ἐπισκοπεῖν, ἀλλὰ κατ' αὐτὸ τὸ ὄνομα διώκειν τοῦ λεχθέντος τὴν ἐναντίωσιν, ἔριδι, οὐ διαλέκτῳ πρὸς ἀλλήλους χρώμενοι. Ἔστι γὰρ δή, ἔφη, περὶ πολλοὺς[r] τοῦτο τὸ πάθος· ἀλλὰ μῶν καὶ πρὸς ἡμᾶς τοῦτο τείνει ἐν τῷ παρόντι; Παντάπασι μὲν οὖν, ἦν δ' ἐγώ· κινδυνεύομεν γοῦν[s] ἄκοντες ἀντιλογίας ἅπτεσθαι. Πῶς;[t] Τὸ μὴ[u] τὴν αὐτὴν φύσιν ὅτι οὐ τῶν αὐτῶν δεῖ ἐπιτηδευμάτων τυγχάνειν πάνυ ἀνδρείως τε καὶ ἐριστικῶς κατὰ τὸ ὄνομα διώκομεν, ἐπεσκεψάμεθα δὲ[v] οὐδ' ὁπῃοῦν τί εἶδος[w] τὸ τῆς ἑτέρας τε καὶ τῆς αὐτῆς φύσεως καὶ πρὸς τί τεῖνον ὡριζόμεθα[x] τότε, ὅτε τὰ ἐπιτηδεύματα ἄλλῃ[y] φύσει ἄλλα, τῇ III. i. 225.
δὲ αὐτῇ τὰ αὐτὰ ἀπεδίδομεν. Οὐ γὰρ οὖν, ἔφη, ἐπεσκεψάμεθα. Τοιγάρτοι, εἶπον, ἔξεστιν ἡμῖν, ὡς ἔοικεν, ἀνερωτᾶν ἡμᾶς αὐτοὺς εἰ ἡ αὐτὴ φύσις φαλακρῶν καὶ κομητῶν καὶ οὐχ ἡ[z] ἐναντία, καὶ ἐπειδὰν ὁμολογῶμεν ἐναντίαν εἶναι, ἐὰν φαλακροὶ σκυτοτομῶσι, μὴ ἐᾶν κομήτας, ἐὰν δ' αὖ κομῆται, μὴ τοὺς ἑτέρους. Γέλοιον μέντ' ἂν εἴη, ἔφη. Ἆρα κατ' ἄλλο τι, εἶπον ἐγώ, γέλοιον, ἢ ὅτι τότε οὐ πάντως τὴν αὐτὴν καὶ τὴν[a] ἑτέραν φύσιν ἐτιθέμεθα, ἀλλ' ἐκεῖνο τὸ εἶδος τῆς ἀλλοιώσεώς τε καὶ ὁμοιώσεως μόνον[b] ἐφυλάττομεν τὸ πρὸς αὐτὰ τεῖνον τὰ ἐπιτηδεύματα;[c] οἷον ἰατρὸν[d] μὲν καὶ ἰατρικὸν[e] τὴν ψυχὴν ὄντα[f] τὴν αὐτὴν

[o] δεῖ r.—[p] καὶ κομιδῇ ΘΦτ.—[q] ἐκμερίζειν Θ.—[r] περὶ πολλοὺς om ΘΦτ.—[s] οὖν Κq.—[t] πῶς om Φ.—[u] μὴ om ΑΘΠΦDΚqιmr.—[v] δὲ om Φτ.—[w] ὁπητιοῦν εἶδος Φτ.—[x] ὁριζόμεθα Θm.—[y] οὐκ ἄλλῃ r.—[z] οὐχὶ ΘΦτ.—[a] τὴν om Ξ.—[b] μόνον ὂν m.—[c] τὰ πρὸς αὐτὰ τείνοντα ἐπιτηδεύματα ΑΘΠΦmr et γρ Ξ, τὰ πρὸς αὐτὸ τείνοντα ἐπιτηδεύματα DΚr, τὸ πρὸς αὐτὰ τεῖνον ἐπιτήδευμα Ξ.—[d] ἰατρὸν Ficinus: alii

γοῦν] Galen. οὖν. Mox ἐπισκεψόμεθα, ut infra; vitiose. Sequens καὶ negatione praecedente negat; v. Wyttenbach. Bibl. Crit. v. iii. p. iv. p. 4. τεῖνον int. ἐστὶ, i. q. τείνει, ut supra jam observavimus. Ast.

ψυχὴν ἔχοντα] Cod. Reg. et Galen. ὄντα.—Ἰατρικὸν δέ. Galen δέ γε. Ast.

φύσιν ἔχειν ἐλέγομεν. ἢ οὐκ οἴει; Ἔγωγε. Ἰατρικὸν δὲ[g] καὶ τεκτονικὸν ἄλλην; Πάντως που. [§. 5.] Οὐκοῦν, ἦν δ' ἐγώ, καὶ τὸ τῶν ἀνδρῶν καὶ τὸ τῶν γυναικῶν γένος, ἐὰν μὲν[h] πρὸς τέχνην τινὰ ἢ ἄλλο ἐπιτήδευμα διαφέρον φαίνηται, τοῦτο[i] δὴ φήσομεν ἑκατέρῳ δεῖν ἀποδιδόναι· ἐὰν δὲ[k] αὐτῷ τούτῳ φαίνηται διαφέρειν, τῷ τὸ μὲν θῆλυ τίκτειν, τὸ δὲ[l] ἄῤῥεν ὀχεύειν, οὐδέν τί πω φήσομεν μᾶλλον ἀποδε-
III. i. 226. δεῖχθαι ὡς πρὸς ὃ ἡμεῖς λέγομεν διαφέρει[m] γυνὴ ἀνδρός, ἀλλ' ἔτι οἰησόμεθα δεῖν τὰ αὐτὰ ἐπιτηδεύειν τούς τε φύλακας ἡμῖν καὶ τὰς γυναῖκας αὐτῶν; Καὶ ὀρθῶς, ἔφη.[n] Οὐκοῦν μετὰ τοῦτο κελεύομεν[o] τὸν τὰ ἐναντία λέγοντα
II. 455. τοῦτο αὐτὸ διδάσκειν ἡμᾶς, πρὸς τίνα τέχνην ἢ τί[p] ἐπιτήδευμα τῶν περὶ πόλεως κατασκευὴν οὐχ ἡ[q] αὐτὴ ἀλλὰ[r] ἑτέρα φύσις γυναικός τε καὶ ἀνδρός; Δίκαιον γοῦν. Τάχα τοίνυν ἄν, ὅπερ σὺ ὀλίγον πρότερον ἔλεγες, εἴποι ἂν καὶ ἄλλος, ὅτι ἐν μὲν τῷ παραχρῆμα ἱκανῶς εἰπεῖν οὐ ῥᾴδιον, ἐπισκεψαμένῳ δὲ[s] οὐδὲν χαλεπόν. Εἴποι γὰρ ἄν. Βούλει οὖν δεώμεθα τοῦ τὰ τοιαῦτα ἀντιλέγοντος ἀκολουθῆσαι[t] ἡμῖν, ἐάν πως ἡμεῖς ἐκείνῳ ἐνδειξώμεθα ὅτι οὐδέν ἐστιν ἐπιτήδευμα ἴδιον γυναικὶ πρὸς διοίκησιν πόλεως; Πάνυ γε. Ἴθι δή, φήσομεν[u] πρὸς αὐτόν, ἀποκρίνου. ἆρα[v] οὕτως ἔλεγες τὸν μὲν εὐφυῆ πρός τι εἶναι, τὸν δὲ[w] ἀφυῆ, ἐν ᾧ ὁ μὲν[x] ῥᾳδίως τι μανθάνοι,[y] ὁ δὲ χαλεπῶς; καὶ ὁ μὲν ἀπὸ βραχείας μαθήσεως ἐπὶ πολὺ εὑρετικὸς εἴη οὗ ἔμαθεν, ὁ δὲ πολλῆς μαθήσεως τυχὼν[z] καὶ μελέτης μηδ' ἃ ἔμαθε σώ-

ἰατρικὸν.—[e] καὶ ἰατρικὸν q, om ΘΞΦr: καὶ ἰατρικὴν *s.—[f] ὄντα ΑΞΠΦDKqrmr: ἔχοντα *s.—[g] αὖ Φr, δέ γε v.—[h] μὲν om v.—[i] τοῦτο...φαίνηται om Φr.—[k] δ' rm.—[l] δ' m.—[m] διαφέροι v.—[n] γ' ἔφη Ξv.—[o] κελεύωμεν Ξ.—[p] τί om Φmr.—[q] οὐχ' ἡ D.—[r] ἀλλ' vm.—[s] δὲ om D.—[t] βοηθῆσαι Kq.—[u] φήσωμεν ΦKq.—[v] ἆρ' v.—[w] δ' v.—[x] ὁ μὲν om DK.—[y] μανθάνει ΘΞΦr.—[z] τυχὸν m.—[a] ὑπηρετεῖ Φr.—[b] τῇ om q.

§. 5. καὶ τὸ] Ald. et Bas. 1. καὶ τί. Mox vice τῷ τὸ, Bas. 2. τὸ τῷ. Ast.

τοῦτο δὴ] Invenitur alia lectio, in qua est δὴ pro μή, et interrogationis nota post ἀποδιδόναι. Ficinus tamen lectionem nostram videtur agnovisse, nisi quod et ipse interrogative legit: vertit enim, *Nonne et genus virorum mulierumque genus, si in arte aliqua aut studio nihil inter se differat, hoc utrique assignandum esse dicemus?* Steph.

ἡμῖν] Galen. ἡμῶν. Mox ὀρθῶς γ', ἔφην, et post ἀντιλέγοντος addit μου. Ast.

ἐν ᾧ] I. e. ἐν τούτῳ, ὅτι, *propterea quod, eo nomine quod.* Sic Xenoph. Agesil. viii. 6. ἐν οἷς δὴ καὶ σὺ μάλιστα κατεμέμψω τὴν τυραννίδα. V. Fisch. ad Well. t. iii. p. ii. p. 140. Ast.

ζοιτο; καὶ τῷ μὲν τὰ τοῦ σώματος ἱκανῶς ὑπηρετοῖ[a] τῇ[b]
διανοίᾳ, τῷ δὲ ἐναντιοῖτο;[c] ἆρ' ἄλλ'[d] ἄττα ἐστὶν ἢ ταῦ- III. i. 227.
τα, οἷς τὸν εὐφυῆ πρὸς ἕκαστα καὶ τὸν μὴ ὡρίζου; Οὐδείς,
ἦ δ' ὅς, ἄλλα φήσει. Οἶσθά τι οὖν ὑπὸ[e] ἀνθρώπων μελε-
τώμενον, ἐν ᾧ οὐ πάντα ταῦτα[f] τὸ τῶν ἀνδρῶν γένος διαφε-
ρόντως ἔχει ἢ τὸ τῶν γυναικῶν; ἢ μακρολογῶμεν[g] τήν τε
ὑφαντικὴν λέγοντες καὶ τὴν τῶν ποπάνων τε καὶ ἑψημάτων
θεραπείαν, ἐν οἷς δή τι δοκεῖ τὸ γυναικεῖον γένος εἶναι, οὗ
καὶ καταγελαστότατόν ἐστι πάντων ἡττώμενον; Ἀληθῆ,
ἔφη, λέγεις, ὅτι πολὺ κρατεῖται ἐν ἅπασιν ὡς ἔπος εἰπεῖν
τὸ γένος τοῦ γένους. γυναῖκες μέντοι πολλαὶ[h] πολλῶν ἀν-
δρῶν βελτίους εἰς πολλά· τὸ δὲ ὅλον ἔχει[i] ὡς σὺ λέγεις.
Οὐδὲν ἄρα ἐστίν, ὦ φίλε, ἐπιτήδευμα τῶν πόλιν διοικούν-
των γυναικὸς διότι γυνή, οὐδ' ἀνδρὸς διότι ἀνήρ, ἀλλ'
ὁμοίως διεσπαρμέναι αἱ φύσεις ἐν ἀμφοῖν τοῖν ζώοιν, καὶ
πάντων μὲν μετέχει γυνὴ ἐπιτηδευμάτων κατὰ φύσιν, πάν-
των δὲ ἀνήρ, ἐπὶ πᾶσι δὲ ἀσθενέστερον γυνὴ ἀνδρός. Πάνυ
γε. Ἦ οὖν ἀνδράσι πάντα προστάξομεν,[k] γυναικὶ δὲ[l]
οὐδέν; Καὶ[m] πῶς; Ἀλλ'[n] ἔστι γάρ, οἶμαι, ὡς φήσομεν,
καὶ γυνὴ[o] ἰατρική, ἡ δ' οὔ, καὶ μουσική, ἡ δ' ἄμουσος φύ- III. i. 228.
σει. Τί μήν; Καὶ[p] γυμναστικὴ ἄρα καὶ[q] πολεμική, ἡ II. 456.

—[c] ἐναντιοῦται Φr.—[d] ἄλλ' r.—[e] ὑπ' r.—[f] ταὐτὰ A.—[g] μακρολογοῦμεν ΘΦqr et corr Ξ.—[h] πολλαὶ om ΘΦr.—[i] ὅλον ἕλον ἔχει q.—[k] προστάξωμεν ΘΠ et pr Φ.—[l] δ' r.—[m] καὶ om s.—[n] ἆρ' r.—[o] γυναικὶ K.—[p] Καὶ om Arm.—[q] ἄρα καὶ q, δ' ἄρα

οἶσθα κ. τ. λ.] Laudat Euseb. Præp. Ev. xii. 32. p. 608. C. Ast.

πάντα ταῦτα] Viger. ad Euseb. p. 59. malebat *ταὐτὰ*, ut Ficinus vertit, *omnia eadem*; sed rectius habet *ταῦτα*; namque respiciuntur prægressa, *τὸ εὐφυῆ εἶναι, εὑρετικὸν* cet. Mox pro *ἢ τὸ* Galen. exhibet *τοῦ*. Ast.

τὴν τῶν τοπάνων] Vid. Casaub. ad Athen. iv. p. 172. D. Ast.

δή τι εἶναι] *εἶναί τι* supra jam illustravimus. Ast.

πάντων] Galen. et Euseb. *πάμπολυ*. Ficinus, *ubi perridiculum sane apparet*. Mox pro *πόλυ κρατεῖται* Euseb. *καὶ πόλυ κρ*. Ast.

καὶ πῶς] Sic cod. Reg. Galen. vulgo *καὶ* desideratur. Etiam Ficinus, *at quomodo?* Ast.

καὶ γυμναστικὴ] For. *καὶ οὐ γυμναστική, ἡ δ' ἄρα οὔ; οὐδὲ πολεμική, ἡ δὲ ἀπόλεμος: καὶ οὐ φιλογυμναστική, ἡ δ' ἄρα οὔ*; ut *οὐ* in prioribus locis sit pro *nonne*. Steph. qui sic in Not. ' Alia hujus loci affertur lectio, quæ habet, *καὶ γυμναστική· ἡ δ' ἄρα καὶ πολεμική. ἡ δὲ, ἀπόλεμος, καὶ οὐ φιλογυμναστική; Οἶμαι ἔγωγε. Τί δέ; φιλόσοφός τε καὶ θυμοειδής; ἡ δὲ, μισόσοφος καὶ ἄθυμος*; Sed quædam in nostra editione melius scripta esse videntur: ideoque fortassis ex duabus lectionibus facienda una fuerit. Quæ autem jamjam scripsi, sunt ex conjectura: ubi *οὐ* priore loco est interrogativum. Sed lubentius lectionem, quam modo attuli, sequor, in priore parte, ut dicatur, *καὶ γυμναστική*, subaudi *ἐστὶ γυνή*: nec vero *γυμναστικὴ* solum, sed etiam *πολεμική*:

δὲ ἀπόλεμος καὶ οὐ γυμναστική;[r] Οἶμαι ἔγωγε. Τί δέ; φιλόσοφός τε καὶ μισόσοφος; καὶ θυμοειδής, ἡ δ' ἄθυμος; Ἔστι καὶ ταῦτα. Ἔστιν ἄρα καὶ φυλακικὴ γυνή, ἡ δ' οὔ. ἢ οὐ τοιαύτην καὶ τῶν ἀνδρῶν τῶν φυλακικῶν φύσιν ἐξελεξάμεθα; Τοιαύτην μὲν οὖν. Καὶ γυναικὸς ἄρα καὶ ἀνδρὸς ἡ αὐτὴ φύσις εἰς φυλακὴν πόλεως, πλὴν ὅσα ἀσθενεστέρα[s] ἢ ἰσχυροτέρα ἐστίν. Φαίνεται. [§. 6.] Καὶ γυναῖκες ἄρα αἱ τοιαῦται τοῖς[t] τοιούτοις ἀνδράσιν ἐκλεκτέαι συνοικεῖν[u] τε καὶ συμφυλάττειν, ἐπεί πέρ εἰσιν ἱκαναὶ καὶ ξυγγενεῖς αὐτοῖς[v] τὴν φύσιν. Πάνυ γε. Τὰ δ' ἐπιτηδεύματα οὐ τὰ αὐτὰ ἀποδοτέα[w] ταῖς αὐταῖς φύσεσιν; Τὰ αὐτά. Ἥκομεν ἄρα εἰς τὰ πρότερα[x] περιφερόμενοι, καὶ ὁμολογοῦμεν μὴ παρὰ φύσιν εἶναι ταῖς τῶν φυλάκων γυναιξὶ μουσικήν τε καὶ γυμναστικὴν ἀποδιδόναι. Παντάπασι μὲν οὖν. Οὐκ ἄρα ἀδύνατά γε οὐδὲ[y] εὐχαῖς ὅμοια ἐνομοθετοῦμεν,[z] ἐπεί περ κατὰ φύσιν ἐτίθεμεν τὸν νόμον· ἀλλὰ τὰ νῦν παρὰ ταῦτα γιγνόμενα παρὰ φύσιν μᾶλλον, ὡς ἔοικε, γίγνεται. Ἔοικεν. Οὐκοῦν ἡ ἐπίσκε-

καὶ Kr, δ' ἄρα οὔ· οὐδὲ ΑΠΦDmr : ἡ δ' ἄρα οὔ οὐδὲ *ς.—[r] γυμναστική q : φιλογυμναστική *ς. quæ addi solebant, ἡ δ' ἄρα οὔ, om ΑΘΠΦDKqrmr, in mg rc ponit Ξ.—[s] ἀσθενέστερα ἢ ἰσχυρότερα ΘΠr, ἀσθενεστέρας ἢ ἰσχυροτέρας m : ἢ om A.—[t] τοῖς om m.—[u] ξ. ... ξ. r.—[v] αὐτὴν m.—[w] ἀποδοτέον ΘΞΠΦΚ.—[x] πρότερον K.—

est contra quæ nec sit πολεμικὴ, sed contra ἀπόλεμος, nec γυμναστικὴ, sive φιλογυμναστική, (nam hoc in illius significatione utitur.) Sed in altero membro minime necesse videtur aliam quam quæ in hac editione est quærere verborum collocationem.'

γυμναστικὴ δ' ἄρα] Sic e cod. Regio rescripsimus pro eo, quod vulgo legitur: γυμναστικὴ, ἣ δ' ἄρα οὒ οὐδὲ πολεμική, ἡ δὲ ἀπόλεμος καὶ οὐ φιλογυμναστική; ἡ δ' ἄρα οὐ. Ficinus, *et alia quidem ad exercitationes gymnasticas et rem militarem promta, alia vero ad hæc inepta.* Etiam Euseb. l. l. ἡ post γυμναστικὴ et ἡ δ' ἄρα οὐ post φιλογυμναστικὴ omittit, ante πολεμικὴ vero cum libris Platonis editis legit οὐδὲ pro οὐ, cf. Viger. ad Euseb. p. 59. Illud ἄρα οὐ a Grammatico videtur profectum esse, qui ἆρα pro interrogatione habens οὐ addidisset; ἡδὲ ante ἀπόλεμος idem repetiit post γυμναστικὴ et ex duabus enuntiationibus tres finxit, quarum tamen posterior (ἡ μὲν φιλογυμναστικὴ, ἡ δ' ἄρα οὐ) nihil est nisi prioris (ἡ μὲν γυμναστικὴ, ἡ δ' ἄρα οὐ) repetitio. Ante ἡ δὲ omissum est, ut solet, ἡ μὲν, de quo v. Heind. ad Gorg. §. 24. Theæt. §. 96. Hermann. ad Viger. p. 699. et Schaefer. ad L. Bos. p. 329. Ast.

φιλόσοφος] In his quoque verbis plura offendunt; pro τε καὶ enim exspectabat ἡ δὲ, ut Ficinus legit: *An non et una quidem sapientiæ studiosa est, altera sapientiam spernit, et una elato animo, altera vero demisso?* Galen. ita exhibet hunc locum: φιλόσοφός τε καὶ θυμοειδὴς, ἡ δὲ ἄθυμος καὶ μισόσοφος; quod amplexandum.—ἡ δὲ ἰσχυροτέρα; ἡ δὲ pro ἢ ex Eusebio reposuimus, quo locus sanatur. Galenus ante ἀσθενεστέρα interponit ἡ μὲν (int. φύσις), quo non opus est; deinde scribit ὁ δ' ἰσχυρότερος, quod interpretamenti manifestum est. Ast.

§. 6. εὐχαῖς] Vid. ad Cap. 2. Ast.

ψις ἡμῖν ἦν[a] εἰ δυνατά γε[b] καὶ βέλτιστα λέγοιμεν; Ἦν III. i. 229.
γάρ. Καὶ ὅτι μὲν[c] δὴ δυνατά, διωμολόγηται; Ναί.
Ὅτι δὲ δὴ[d] βέλτιστα, τὸ μετὰ τοῦτο δεῖ διομολογηθῆναι;
Δῆλον. Οὐκοῦν πρός[e] γε τὸ φυλακικὴν γυναῖκα γενέσ-
θαι, οὐκ ἄλλη μὲν ἡμῖν ἄνδρας ποιήσει παιδεία, ἄλλη δὲ
γυναῖκας, ἄλλως τε καὶ τὴν αὐτὴν φύσιν παραλαβοῦσα;[f]
Οὐκ ἄλλη. Πῶς οὖν ἔχεις δόξης τοῦ τοιοῦδε[g] πέρι; Τί-
νος δή; Τοῦ ὑπολαμβάνειν παρὰ σεαυτῷ[h] τὸν μὲν ἀμείνω
ἄνδρα, τὸν δὲ χείρω. ἢ πάντας[i] ὁμοίους[k] ἡγεῖ; Οὐδαμῶς.
Ἐν οὖν τῇ πόλει ἣν ᾠκίζομεν, πότερον[l] οἴει ἡμῖν ἀμείνους
ἄνδρας ἐξειργάσθαι τοὺς φύλακας, τυχόντας ἧς διήλθομεν
παιδείας, ἢ τοὺς σκυτοτόμους, τῇ σκυτικῇ παιδευθέντας;
Γελοῖον, ἔφη, ἐρωτᾷς. Μανθάνω, ἔφην. τί δέ;[m] τῶν ἄλ-
λων πολιτῶν οὐχ οὗτοι ἄριστοι; Πολύ γε. Τί δέ;[m] αἱ[n]
γυναῖκες τῶν γυναικῶν οὐχ αὗται ἔσονται βέλτισται; Καὶ
τοῦτο, ἔφη, πολύ. Ἔστι δέ τι[o] πόλει[p] ἄμεινον ἢ γυναῖκάς
τε καὶ ἄνδρας ὡς ἀρίστους ἐγγίγνεσθαι; Οὐκ ἔστιν.
Τοῦτο δὲ[q] μουσική τε καὶ γυμναστικὴ παραγιγνόμεναι, ὡς
ἡμεῖς διήλθομεν, ἀπεργάσονται; Πῶς δ' οὔ; Οὐ μόνον II. 457.
ἄρα δυνατὸν ἀλλὰ καὶ ἄριστον πόλει[r] νόμιμον ἐτίθεμεν;
Οὕτως. Ἀποδυτέον δὴ ταῖς τῶν φυλάκων γυναιξίν, ἐπεί III. i. 230.

[y] οὐδ' r.—[z] ἐνουθετοῦμεν m.—[a] ἦν om ΘKr.—[b] malim τε.—[c] μὲν om m.—[d] δὴ post δὲ om Φr.—[e] καὶ πρός Φ.—[f] προσλαβοῦσα Φr, παραλακοῦσα v.—[g] τοιούτου r.—[h] σαυτῷ r.—[i] πάντως v, πάντ' ἂν m.—[k] ὁμοίως r.—[l] ποτέρους q.—[m] δαί A.—[n] αἱ om m.—[o] τῇ m.—[p] πολέως Θ.—[q] δὲ ΑΘΠΦDKqvm et corr Ξ: δὴ *s.—[r] πό-

πρός γε τὸ—γενέσθαι] *Quod attinet ad id, quod—de hoc, quod.* Sic Phædon. p. 481. Fisch. οἳ δὲ ἂν δόξωσι διαφερόντως (int. εἶναι, i. e. διαφέρειν) πρὸς (quod attinet ad—) τὸ ὁσίως βιῶναι. p. 494. τί λέγεις περὶ τοῦδε τοῦ πόματος πρὸς τὸ ἀποσπεῖσαί τινι. Vid. Fischer. ad Weller. t. iii. p. ii. p. 257. Ast.

ποιήσει παιδεία] Int. φύλακας γίγνεσθαι s. γενέσθαι. Ast.

παραλαβοῦσα] Sc. ad instituendum s. erudiendum. Xenoph. Mem. ii. 1. §. 1. εἰ δέοι σε παιδεύειν παραλαβόντα δύο τῶν νεῶν—πῶς ἂν ἑκάτερον παιδεύοις; Œcon. vii. 41. ἀνεπιστήμονα ταμιείας καὶ διακονίας παραλαβοῦσα. De re equestr. xi. 13. τί ἔτι ἐμποδὼν τούτῳ, μὴ οὐχὶ πλείονός τε ἀξίους ἵππους ποιεῖν, ἢ οὓς ἂν παραλαμβάνῃ. Monui propter Ficinum qui vertit: *præsertim quum eadem reperiatur in utrisque natura.* Ast.

πῶς—ἔχεις δόξης] De hac genitivi cum particula πῶς constructione vid. Matthiæ Gr. Gr. p. 432. Ast.

πολύ γε] Bas. 2. πάνυ γε. Ast.

ἀποδυτέον] Laudat Stob. xli. p. 255. ubi legimus ἄλλο πρακτέον—ἀποδοτέον—οὐδὲ τί πράττει. Adumbratum hoc esse videtur, saltem si orationis formam respicimus, ad nobilissimum illum Herodoti locum i. 8. ἅμα δὲ χιθῶνι ἐκδυομένῳ ξυνεκδύεται καὶ τὴν αἰδῶ γυνή. Ceterum nihil frequentius est verbis induendi s. amiciendi et exuendi translate usurpatis, in quo, ut in omnibus fere aliis, facem prætulit ceteris Homerus. Sic enim

περ[s] ἀρετὴν ἀντὶ ἱματίων ἀμφιέσονται,[t] καὶ κοινωνητέον πολέμου τε καὶ τῆς ἄλλης φυλακῆς τῆς περὶ τὴν πόλιν, καὶ οὐκ ἄλλα πρακτέον· τούτων δ' αὐτῶν τὰ ἐλαφρότερα[u] ταῖς γυναιξὶν ἢ[v] τοῖς ἀνδράσι δοτέον διὰ τὴν τοῦ γένους ἀσθένειαν. ὁ δὲ γελῶν ἀνὴρ ἐπί γυμναῖς γυναιξί,[w] τοῦ βελτίστου ἕνεκα γυμναζομέναις, ἀτελῆ[x] τοῦ γελοίου σοφίας δρέπων καρπόν, οὐδὲν οἶδεν, ὡς ἔοικεν, ἐφ' ᾧ γελᾷ[y] οὐδ' ὅ τι πράττει· κάλλιστα γὰρ δὴ[z] τοῦτο καὶ λέγεται[a] καὶ λελέξεται, ὅτι τὸ μὲν ὠφέλιμον καλόν, τὸ δὲ βλαβερὸν αἰσχρόν. Παντάπασι μὲν οὖν.

Τοῦτο μὲν τοίνυν ἓν ὥς περ κῦμα φῶμεν διαφεύγειν τοῦ γυναικείου πέρι[b] νόμου λέγοντες, ὥστε μὴ παντάπασι[c] κατακλυσθῆναι τιθέντας ὡς δεῖ κοινῇ πάντα ἐπιτηδεύειν τούς τε φύλακας ἡμῖν καὶ τὰς φυλακίδας, ἀλλά πῃ τὸν λόγον αὐτὸν αὑτῷ ὁμολογῆσθαι[d] ὡς δυνατά τε καὶ ὠφέλιμα λέγει; [§. 7.] Καὶ μάλα,[e] ἔφη, οὐ σμικρὸν κῦμα δια-

λεως Θ, πόλιν υ.—[s] ἐπειδήπερ Φ𝔵.—[t] ἐνδύσονται ΘΦ𝔵.—[u] libri ἐλαφρότερα.—[v] ἢ... γυναιξὶ om Θ.—[w] ἐπὶ γυμναῖς γυναιξὶ om Θ𝔵 : ἐπὶ γυμναῖς ταῖς γυναιξὶ 𝔪.—[x] ἅτε δὴ γρ A.—[y] γελῶι Π𝔵 et pr Θ.—[z] δὴ om 𝔪.—[a] λέξεται υ, διαλέξεται 𝔪.—[b] πέρι ΑΘΞΠ.—[c] πάντας Φ𝔵.—[d] ὁμολογεῖσθαι (ὧ, η superscr.) A, ὡμολογεῖσθαι Θ, ὁμολογεῖσθαι Ξ𝔳𝔪.—

Iliad. I. 149. ἀναιδείην ἐπιειμένε. Il. vi. 164. ἐπιειμένοι ἀλκήν. ix. 372. Cf. Gataker. Advers. Miscell. i. 9. p. 223. Ast.

ἀμφιέσονται] Schol. Ruhnk. p. 163. legit ἐνδύσονται, addens: γράφεται ἀμφιέσονται. Ast.

ἄλλα] Stob. ἄλλο; fortasse ἄλλῃ scribendum, vel ἄλλως. Ast.

ὁ δὲ γελῶν ἀνὴρ] Laudat Euseb. Præp. Ev. xiii. 19. p. 706. B. et Theodoret. Therap. ix. p. 615. D. uterque γυμναῖς ταῖς γυναιξὶ, et mox ἅτε δὴ pro ἀτελῆ. Ast.

τοῦ γελοίου] Theodor. διὰ τοῦ γελοίου (Ficinus, *circa ridiculas nugas*); τὸ γελοῖον vel γέλοιον, ut fortasse rectius scribitur apud Platonem, esset *sermo cavillans*, dictum ironicum, ut apud Xenoph. Cyrop. ii. 3. 1. Sympos. i. 14. al. Sed σοφία τοῦ γελοίου, ni fallor, est *ars* s. facultas *cavillandi ac deridendi*. Ast. qui sic in Addend. ‘ Verba τοῦ γελοίου de glossa mihi suspecta sunt.’

δρέπων] Theodoret. δρεπόμενος : vulgare verbum pro poetico illo (vid. Pindar. Olymp. i. 20. et Boissonad. ad Philostrat. p. 313. 327.) Verba videlicet hæc sunt Pindari. Stobæus Serm. lxxviii. p. 465. τοὺς φυσιολογοῦντας, ἔφη Πίνδαρος, ἀτελῆ σοφίας καρπὸν δρέπειν. Ast.

οὐδὲ οἶδεν] Sic bene Euseb. et Theodoret. Vulgo οὐδέν. Ast.

κάλλιστα] Laudat Stob. i. p. 24. ubi scriptum est κάλλιστον. Ast.

λελέξεται] I. e. ἀεὶ λεχθήσεται, διατελέσει λεγόμενον, ut Coraius explicat ad Heliodor. t. ii. p. 68. Cf. Matth. Gr. Gr. p. 692. Ast. qui sic in Addend. ‘ Rectius explicatur, *dictum esto*, s. sit. Vid. Buttmann. Gr. Gr. p. 471.’

ὥσπερ κῦμα] Frequentissima est disputationis cum navigatione comparatio, ut jam supra observavimus. Similiter Cicero Tusc. Quæst. iv. 14. ‘ ex quibus quoniam tanquam e scruposis cautibus enavigavit oratio, reliquæ disputationis cursum teneamus, modo satis illa dilucide dixerimus pro rerum obscuritate.’ Ast.

φεύγεις. Φήσεις γε,[f] ἦν δ' ἐγώ, οὐ μέγα αὐτὸ εἶναι, ὅταν τὸ[g] μετὰ τοῦτο ἴδῃς. Λέγε δή, ἴδω,[h] ἔφη. Τούτῳ,[i] ἦν δ' ἐγώ, ἕπεται νόμος καὶ τοῖς ἔμπροσθεν[k] τοῖς ἄλλοις, ὡς III. i. 231.
ἐγᾦμαι, ὅδε. Τίς; Τὰς γυναῖκας ταύτας τῶν ἀνδρῶν τούτων πάντων πάσας εἶναι κοινάς, ἰδίᾳ δὲ μηδενὶ μηδεμίαν συνοικεῖν·[l] καὶ τοὺς παῖδας αὖ κοινούς, καὶ μήτε γονέα ἔκγονον εἰδέναι τὸν αὑτοῦ μήτε παῖδα γονέα.[m] Πολύ, ἔφη, τοῦτο ἐκείνου μεῖζον πρὸς ἀπιστίαν καὶ τοῦ δυνατοῦ πέρι καὶ τοῦ ὠφελίμου. Οὐκ[n] οἶμαι, ἦν δ' ἐγώ, περί γε τοῦ ὠφελίμου ἀμφισβητεῖσθαι ἄν,[o] ὡς οὐ μέγιστον ἀγαθὸν κοινὰς μὲν τὰς[p] γυναῖκας εἶναι, κοινοὺς δὲ τοὺς[q] παῖδας, εἴ περ οἷόν τε· ἀλλ' οἶμαι περὶ τοῦ εἰ[r] δυνατὸν[s] ἢ μὴ πλείστην[t] ἀμφισβήτησιν γενέσθαι. Περὶ ἀμφοτέρων, ἦ δ' ὅς, εὖ[u] μάλα[v] ἂν ἀμφισβητηθείη. Λέγεις, ἦν δ' ἐγώ, λόγων ξύστασιν· ἐγὼ δ' ᾤμην ἔκ γε τοῦ ἑτέρου ἀπο-

[e] μάλ' r.—[f] γε om Θ, δὲ v.—[g] τὸ om Θ.—[h] ἴδω ΑΘΠΦDKvmr: ὡς ἴδω *ς. —[i] τούτων m.—[k] ἔμπροσθεν καὶ K.—[l] ξ. v.—[m] γονέας v.—[n] οὐκ...ὠφελίμου om Φr.—[o] ἂν om ΘΦr.—[p] τὰς om Φ.—[q] τοὺς om Φ.—[r] εἰ om ΘΦr.—[s] ἀδύνατον v.—[t] πλείστην ἂν ἀμφισβήτησιν v et rc q.—[u] εὖ om Φ.—[v] μάλ' m.—[w] ἀποδράσασθαι

§. 7. *τούτῳ. ἦν δ' ἐγὼ*] Laudat Euseb. Præp. Ev. xiii. 19. p. 708. B. et Stob. xli. p. 225. ubi male ὧδε pro ὅδε legitur. Ast.

τὰς γυναῖκας ταύτας] Laudat hæc Theodoret. Therapeut. ix. p. 616. D. ubi *ἁπάντων — μηδεμίαν μηδενὶ — τὸν αὐτοῦ παῖδα — πατέρα τὸν αὐτοῦ γονέα* scriptum reperitur. Ceterum hæc Platonis de mulierum communitate sententia dici non potest quam varie accepta ac dijudicata fuerit et a veteribus et a recentioribus. Vide, quæ Aristoteles, ut solet, Pol. ii. 2. et Hist. Animal. ix. 1. contra Platonem disputat. Cf. Clement. Alex. Strom. iii. p. 431. A. vi. p. 628. A. Euseb. Præp. Evang. xiii. 19. Theodoret. Therap. ix. p. 611. B. C. Nicet. Choniat. Thesaur. iv. 10. Theophil. ad Autolyc. iii. 4. ubi v. J. Chr. Wolf. p. 285. Lactant. Div. Instit. iii. 21. §. 6. Alex. ab Alexandr. Genial. Dier. iv. 2. Cf. Bessarion. contra Trapez. iv. 3. Liv. Galantes Compar. Theol. Christ. cum Platon. i. p. 26. Coteler. Patr. Apostolic. t. i. p. 582. Eadem, quæ Platonis, erat Lycurgi, Zenonis, Chrysippi aliorum sententia, vid. Diog. L. vi. 72. vii. 33. Theodor. l. l. Clemens Alex. Strom. iii. p. 428. t. i. p. 511. ed. Potter. ubi v. not. et Grang. ad Juvenal. vi. 21. Et plures constat fuisse easque bellicosas gentes, quæ mulieres communes habuerint, ut Medos (Strabo xi. p. 798.), Agathyrsos (Herodot. iv. 104.) Ausenses (Herod. iv. 180.), Scythas (Stob. v. p. 69. Cf. xlii. p. 291. Æthiopes, Troglodytas (vid. Diodor. Sic. ii. 58. iii. 15. 24. 32.), Garamantes (Pomp. Mela i. 8.), inter recentiores Saporogos (v. Campenhausen. in Bemerk. über Russland. Lips. 1807. p. 60.) Sic experientia ipsa docet, hanc Platonis sententiam naturæ humanæ neutiquam repugnare, ideoque recte a philosopho poni, qui non quærit, quid respectu ad tempus quodpiam sit vel fieri possit, sed, quid omnino fieri possit vel debeat. Ipse vero Plato pluribus locis lectorem monet, se non id agere, ut civitatem exhibeat vulgari rerum conditioni convenientem (h. e. se non empirice, quod dicimus, de rebus politicis disserere), sed finem philosophum sibi propositum esse, et civitatem a se constitutam nonnisi imaginem esse idealis humani generis perfectionis. Vid. quæ ad lib. ix. fin. notabimus. Ast.

δράσεσθαι,[w] *εἴ σοι δόξειεν ὠφέλιμον εἶναι, λοιπὸν δὲ δή*
μοι ἔσεσθαι περὶ τοῦ δυνατοῦ καὶ μή. Ἀλλ' οὐκ ἔλαθες,
ἦ δ' ὅς, ἀποδιδράσκων, ἀλλ' ἀμφοτέρων πέρι δίδου λόγον.
Ὑφεκτέον, ἦν δ' ἐγώ, δίκην. τοσόνδε[x] *μέντοι χάρισαί*[y] *μοι·*
II. 458. *ἔασόν*[z] *με ἑορτάσαι, ὥς περ οἱ ἀργοὶ τὴν διάνοιαν εἰώθασιν*[a]
ἑστιᾶσθαι ὑφ' ἑαυτῶν, ὅταν μόνοι πορεύωνται. καὶ γὰρ οἱ
τοιοῦτοί που, πρὶν ἐξευρεῖν τίνα τρόπον ἔσται τι[b] *ὧν ἐπιθυ-*
III. i. 232. *μοῦσι, τοῦτο παρέντες ἵνα μὴ κάμνωσι βουλευόμενοι περὶ*
τοῦ δυνατοῦ καὶ μή, θέντες ὡς ὑπάρχον εἶναι[c] *ὃ βούλον-*
ται, ἤδη τὰ λοιπὰ διατάττουσι[d] *καὶ χαίρουσι διεξιόντες*
οἷα δράσουσι γενομένου,[e] *ἀργὸν*[f] *καὶ ἄλλως ψυχὴν ἔτι*
ἀργοτέραν ποιοῦντες. ἤδη οὖν καὶ αὐτὸς μαλθακίζομαι, καὶ
ἐκεῖνα[g] *μὲν ἐπιθυμῶ ἀναβαλέσθαι*[h] *καὶ ὕστερον ἐπισκέψασ-*
θαι, ᾗ[i] *δυνατά,*[j] *νῦν δὲ ὡς δυνατῶν ὄντων θεὶς σκέψομαι, ἄν μοι*
παριῇς, πῶς διατάξουσιν αὐτὰ οἱ ἄρχοντες γιγνόμενα καὶ
ὅτι πάντων ξυμφορώτατ' ἂν εἴη πραχθέντα τῇ τε[k] *πόλει*
καὶ τοῖς φύλαξι· ταῦτα πειράσομαί σοι πρότερα[l] *συνδια-*
σκοπεῖσθαι, ὕστερα δ' ἐκεῖνα, εἴ περ παρίης. Ἀλλὰ παρ-
ίημι, ἔφη, καὶ σκόπει.

Οἶμαι τοίνυν, ἦν δ' ἐγώ, εἴ περ ἔσονται οἱ ἄρχοντες ἄξιοι τούτου τοῦ ὀνόματος οἵ τε τούτοις ἐπίκουροι κατὰ ταὐτά, τοὺς μὲν ἐθελήσειν ποιεῖν τὰ ἐπιταττόμενα, τοὺς δὲ[m] *ἐπιτάξειν τὰ μὲν αὐτοὺς*[n] *πειθομένους τοῖς νόμοις, τὰ δὲ καὶ*[o] *μιμουμένους*[p] *ὅσα ἂν ἐκείνοις ἐπιτρέψωμεν. Εἰκός, ἔφη. Σὺ μὲν τοίνυν, ἦν δ' ἐγώ, ὁ νομοθέτης αὐτοῖς, ὥς περ τοὺς ἄνδρας ἐξέλεξας, οὕτω*[q] *καὶ τὰς γυναῖκας ἐκλέξας παρα-*

Ξ.—[x] *τὸ σὸν* m.—[y] *χάρισόν* K.—[z] *μοι καὶ ἔασόν* v.—[a] *εἰώθεσαν* ΘΦr.—[b] *τι* om Dq.—[c] *εἶναι* add ΑΠDvm.—[d] *διαλλάττουσι* Φr.—[e] *γενομένην* v.—[f] *ἀργὴν* DKq.—[g] *ἐκεῖνο* q.—[h] *ἀναλαβέσθαι* m.—[i] *ᾗι* ΑΘΞΠΦvmr : *εἰ* *ς.—[j] *δύναται* v.—[k] *τε* om Am, *δὲ* Θ (τ superscript).—[l] *πρότερον* Kv.—[m] *δ'* vr.—[n] *αὐτοῖς* K.—[o] *καὶ* om v.—[p] *μὴ πειθομένους* q.—[q] *ἄνδρας ἐξέλεξας οὕτω* ΑΠΦDKqvmr, *ἄνδρας ἐκλέξας οὕτω* Θ : *ἄνδρας οὕτω*

ξύστασιν] *Cœtum* (*συναγωγὴν, σύνοδον*, vid. Pollux iii. 129. Hesych. et Phavorin.) h. e. multitudinem, copiam. Ast.

βούλονται] Cod. Reg. *βουλεύονται.* Ficinus, *quod affectant.* Ast.

αὐτοῖς] Sic Cod. Reg. quod sensus postulat et Ficinus quoque expressit, *partim ipsis parentes legibus.* Ast.

εἰκός, ἔφη] Laudat Euseb. Præp. Evang. xiii. 19. p. 708. D. et Theodoret. Therapeut. ix. p. 617. A. Ast.

ἐξέλεξας] E Cod. Reg. Bas. 2. et Ficino hoc apposuimus; Ficinus enim vertit, *quemadmodum viros elegisti.* Ast.

δώσεις καθ' ὅσον οἷόν τε ὁμοφυεῖς· οἱ δέ, ἅτε οἰκίας τε καὶ ξυσσιτία κοινῇ[r] ἔχοντες, ἰδίᾳ δὲ οὐδενὸς[s] οὐδὲν τοιοῦτο[t] III. i. 233.
κεκτημένου,[u] ὁμοῦ δὴ ἔσονται,[v] ὁμοῦ δὲ ἀναμεμιγμένων καὶ ἐν γυμνασίοις καὶ ἐν τῇ ἄλλῃ τροφῇ ὑπ' ἀνάγκης, οἶμαι, τῆς ἐμφύτου ἄξονται πρὸς τὴν ἀλλήλων μίξιν. ἢ οὐκ ἀναγκαῖά σοι δοκῶ λέγειν; Οὐ γεωμετρικαῖς γε,[w] ἦ δ' ὅς, ἀλλ' ἐρωτικαῖς ἀνάγκαις, αἳ[x] κινδυνεύουσιν ἐκείνων δριμύτεραι[y] εἶναι πρὸς τὸ πείθειν τε καὶ ἕλκειν τὸν πολὺν λεών. [§. 8.] Καὶ μάλα, εἶπον. ἀλλὰ μετὰ δὴ[z] ταῦτα, ὦ Γλαύκων, ἀτάκτως μὲν μίγνυσθαι[a] ἀλλήλοις ἢ ἄλλο ὁτιοῦν ποιεῖν οὔτε ὅσιον ἐν εὐδαιμόνων πόλει οὔτ' ἐάσουσιν οἱ ἄρχοντες. Οὐ γὰρ δίκαιον, ἔφη. Δῆλον δὴ[b] ὅτι γάμους[c] τὸ μετὰ τοῦτο ποιήσομεν ἱεροὺς εἰς δύναμιν ὅτι μάλιστα· εἶεν δ' ἂν ἱεροὶ οἱ ὠφελιμώτατοι. Παντάπασι μὲν οὖν. Πῶς οὖν δὴ ὠφελιμώτατοι ἔσονται; τόδε μοι λέγε, II. 459.
ὦ Γλαύκων· ὁρῶ γάρ σου ἐν τῇ οἰκίᾳ καὶ κύνας θηρευτικοὺς[d] καὶ τῶν γενναίων ὀρνίθων μάλα συχνούς· ἆρ' οὖν, ὦ πρὸς Διός, προσέσχηκάς τι τοῖς τούτων γάμοις τε[e] καὶ παιδοποιίαις;[f] Τὸ ποῖον, ἔφη; Πρῶτον μὲν αὐτῶν τούτων,[g] καί περ ὄντων γενναίων, ἆρ' οὐκ εἰσί τινες καὶ γίγνονται ἄριστοι; Εἰσίν. Πότερον οὖν ἐξ ἁπάντων ὁμοίως III. i. 234.
γεννᾷς, ἢ προθυμεῖ ὅτι μάλιστα ἐκ τῶν ἀρίστων; Ἐκ τῶν ἀρίστων.[h] Τί δ'; ἐκ τῶν νεωτάτων ἢ ἐκ τῶν γεραιτάτων[i] ἢ ἐξ ἀκμαζόντων ὅτι μάλιστα; Ἐξ ἀκμαζόντων. Καὶ ἐὰν[k] μὴ οὕτω γεννᾶται, πολύ σοι ἡγεῖ[l] χεῖρον[m] ἔσεσθαι τό τε τῶν[n] ὀρνίθων καὶ τὸ[o] τῶν κυνῶν γένος; Ἔγωγ', ἔφη. Τί

*ς.—[r] κοινὰ ΘΞΠΦDKqυ.—[s] οὐδενὸς om K et pr Ξ.—[t] τοιούτου Θ, τοιοῦτον ΞΦKr.—[u] κεκτημένοι DK.—[v] δεήσονται K.—[w] γε om Θ.—[x] ἃ Φr.—[y] δριμύτερα r.—[z] μετὰ δὴ ΑΠΦDKqυmr: δὴ μετὰ *ς.—[a] γυμνοῦσθαι Θm.—[b] δὲ q.—[c] ἀγάμους Θ.—[d] θηρευτικὰς K.—[e] τε om Θ.—[f] παιδοποιίαι ΠDKqυm.—[g] αὐτὸ τοῦτο K.—[h] ἐκ τῶν ἀρίστων om υ.—[i] γεραιοτάτων Φr.—[k] ἂν m.—[l] ἡγεῖ (ῆ supra) D.—[m] χείρων r.—[n] τῶν

ἰδίᾳ δὲ] Cod. Reg. omisso οὐδένος legit τοιοῦτον (sic et Euseb. et Theodor.) κεκτημένοι, ut Ficinus, *proprium vero nihil talium possidentes*. Sed οὐδενὸς οὐδὲν magis Græcum et Platonicum est. Mox Theodor. ἅτε δὴ, quod placet, et Euseb. κοινὰ, ut Ficinus: *commissationes communes habentes*. Ast.

ὁμοῦ δὲ] Theodor. καὶ ὁμοῦ δὴ, quod arridet; idem post ἐμφύτου addit ἐπιθυμίας. Ast.

οὐ γεωμετρικαῖς] Respexit h. l. Plutarch. vit. Lycurg. p. 48. C. De voce ἀνάγκη v. nostra ad Phædr. p. 237. Ast.

§. 8. γάμους—ἱεροὺς] Vid. Themist. Orat. xxi. p. 248. A. et Procl. in Tim. p. 16. v. 9. Ast.

τί δὲ ἵππων] Genitivus absolutus, qui

δὲ[p] ἵππων οἴει,[q] ἦν δ' ἐγώ, καὶ τῶν ἄλλων ζώων; ἦ[r] ἄλλῃ πῃ ἔχειν; Ἄτοπον μέντ' ἄν, ἦ δ' ὅς,[s] εἴη. Βαβαί, ἦν δ' ἐγώ, ὦ φίλε ἑταῖρε, ὡς ἄρα σφόδρα ἡμῖν δεῖ ἄκρων εἶναι[t] τῶν ἀρχόντων, εἴπερ καὶ περὶ τὸ τῶν ἀνθρώπων γένος ὡσαύτως ἔχει. Ἀλλὰ μὲν δὴ ἔχει, ἔφη· ἀλλὰ τί δή; Ὅτι ἀνάγκη αὐτοῖς, ἦν δ' ἐγώ, φαρμάκοις πολλοῖς χρῆσθαι. ἰατρὸν[u] δέ που μὴ δεομένοις μὲν σώμασι φαρμάκων, ἀλλὰ διαίτῃ ἐθελόντων[v] ὑπακούειν, καὶ φαυλότερον ἐξαρκεῖν ἡγούμεθα εἶναι· ὅταν δὲ δὴ καὶ φαρμακεύειν δέῃ, ἴσμεν ὅτι ἀνδρειοτέρου δεῖ τοῦ ἰατροῦ.[w] Ἀληθῆ· ἀλλὰ πρὸς τί λέγεις; Πρὸς τόδε, ἦν δ' ἐγώ· συχνῷ τῷ ψεύδει καὶ τῇ ἀπάτῃ κινδυνεύει[x] ἡμῖν δεήσειν[y] χρῆσθαι τοὺς ἄρχοντας ἐπ' ὠφελείᾳ τῶν ἀρχομένων. ἔφαμεν δέ που ἐν φαρμάκου εἴδει
III. i. 235. πάντα τὰ τοιαῦτα χρήσιμα εἶναι. Καὶ ὀρθῶς γε,[z] ἔφη. Ἐν τοῖς γάμοις τοίνυν καὶ παιδοποιίαις ἔοικε τὸ[a] ὀρθὸν τοῦτο γίγνεσθαι[b] οὐκ ἐλάχιστον. Πῶς δή; Δεῖ μέν, εἶπον, ἐκ τῶν ὡμολογημένων τοὺς ἀρίστους ταῖς ἀρίσταις συγγίγνεσθαι[c] ὡς πλειστάκις, τοὺς δὲ φαυλοτάτους ταῖς φαυλοτάταις τοὐναντίον, καὶ τῶν μὲν τὰ ἔκγονα[d] τρέφειν,

τε Φ𝔯.—[o] τὸ om ΘΦ𝔯.—[p] δαί A.—[q] οἴει om Φ𝔯.—[r] ᾗι A.—[s] ἦ δ' ὅς om Φ𝔯.—[t] εἶναι om q.—[u] ἰατρῶν 𝔯.—[v] ἐθέλουσιν Φ𝔯.—[w] ἰατροῦ. ἦ γάρ; ἀληθῆ v.—[x] κινδυνεύειν 𝔯.—[y] δεήσει Φ𝔯. χρῆσθαι om Φ𝔯.—[z] γ' om 𝔯.—[a] καὶ τὸ v: om ΘΦ𝔯.—[b] γενέσθαι

rationem vel respectum significat et vulgo præpositione περὶ explicatur. Sic v. c. 16. τί δὲ γῆς τε τμήσεως τῆς Ἑλληνικῆς καὶ οἰκιῶν ἐμπρήσεως. Vid. nostra ad Sympos. p. 294. Ast.

εἶναι] Videtur abundare εἶναι. Mox for. ἐθέλουσιν ὑπακούειν. Steph.

εἶναι] Duabus e structuris conflata est oratio: ὡς ἄρα ἡμῖν δεῖ ἄκρων ἀρχόντων et ὡς ἄρα δεῖ ἡμῖν ἄκρους εἶναι τοὺς ἄρχοντας. Vid. Matthiæ Miscell. Philolog. v. ii. p. ii. p. 101. et Gr. Gr. p. 904. Ast.

ἐθελόντων] Genitivus ut absolutus sæpenumero dativum excipit; vid. Viger. de Idiotism. p. 346. Sequentia ita explicanda, ἡγούμεθα ἐξαρκεῖν, καὶ φαυλότερον εἶναι, i. e. καίπερ φαυλότερον ὄντα. Ast.

ἐξαρκεῖν—εἶναι] Paulo ante videri redundare εἶναι (et merito certe, quum satis sit, ἡμῖν δεῖ ἄκρων τῶν ἀρχόντων, ut dicitur δεῖ μοι τούτου, pro δέομαι τούτου) sed hic quoque de eodem infinitivo redundante admonere debueram: quum satis sit ἐξαρκεῖν, absque εἶναι. Nisi forte putemus non ἐξαρκεῖν sed ἐξαρκῆ Platonem scripsisse: nam post ἐξαρκῆ (aut ἐξάρκη, si ita potius scribendum est) apte adderetur εἶναι. Verum et pro ἐθελόντων scribendum videtur ἐθέλουσι. nisi dicamus non ad præcedens σώμασι referri, sed intelligendum esse σώμασιν ἀνθρώπων ἐθελόντων διαίτῃ ὑπακούειν: sed ita scripsisse Platonem, minus mihi fit verisimile. Steph.

φαρμακεύειν] *Medicamento purgare*, est verbum Hippocrateum. Galenus in Commentar. ad Aphorism. 22. τὸ μὲν φαρμακεύειν ἔθος ἐστὶν αὐτῷ λέγειν ἀντὶ χρῆσθαι φαρμάκῳ καθαίροντι. Ast.

γενέσθαι] Omnino opus est particula ἂν post γενέσθαι, ut γενέσθαι ἂν accipiatur pro γενήσεσθαι; quamvis Ficinus interpretetur *fieri*, perinde ac si legisset γίνεσθαι. Steph.

τῶν δὲ μή, εἰ μέλλει[e] τὸ ποίμνιον ὅτι ἀκρότατον εἶναι· καὶ
ταῦτα πάντα γιγνόμενα λανθάνειν πλὴν αὐτοὺς τοὺς ἄρ-
χοντας, εἰ αὖ ἡ ἀγέλη τῶν φυλάκων ὅτι μάλιστα ἀστα-
σίαστος ἔσται. Ὀρθότατα, ἔφη. Οὐκοῦν δὴ ἑορταί τινες
νομοθετητέαι[f] ἔσονται,[g] ἐν αἷς ξυνάξομεν τάς τε νύμφας
καὶ τοὺς νυμφίους, καὶ θυσίαι καὶ ὕμνοι ποιητέοι τοῖς
ἡμετέροις ποιηταῖς πρέποντες τοῖς γιγνομένοις γάμοις; τὸ II. 460.
δὲ πλῆθος τῶν γάμων ἐπὶ τοῖς ἄρχουσι ποιήσομεν,[h] ἵν' ὡς
μάλιστα διασώζωσι τὸν αὐτὸν ἀριθμὸν τῶν ἀνδρῶν, πρὸς
πολέμους[i] καὶ νόσους καὶ[k] πάντα τὰ τοιαῦτα ἀποσκο-
ποῦντες, καὶ μήτε μεγάλη ἡμῖν ἡ πόλις κατὰ τὸ δυνατὸν
μήτε σμικρὰ γίγνηται; Ὀρθῶς, ἔφη. Κλῆροι δή[l] τινες,
οἶμαι, ποιητέοι κομψοί, ὥστε τὸν φαῦλον ἐκεῖνον αἰτιᾶσθαι
ἐφ' ἑκάστης συνέρξεως τύχην ἀλλὰ μὴ τοὺς ἄρχοντας. Καὶ
μάλα, ἔφη. [§. 9.] Καὶ τοῖς ἀγαθοῖς γέ[m] που τῶν νέων
ἐν πολέμῳ ἢ ἄλλοθί που γέρα[n] δοτέον καὶ ἆθλα[o] ἄλλα III. i. 236.
τε καὶ ἀφθονεστέρα[p] ἡ ἐξουσία τῆς τῶν γυναικῶν ξυγκοιμή-
σεως, ἵνα καὶ ἅμα μετὰ προφάσεως ὡς πλεῖστοι τῶν παί-
δων ἐκ τῶν τοιούτων σπείρωνται. Ὀρθῶς. Οὐκοῦν καὶ
τὰ ἀεὶ γιγνόμενα ἔκγονα παραλαμβάνουσαι αἱ ἐπὶ τού-
των ἐφεστηκυῖαι ἀρχαὶ εἴτε ἀνδρῶν εἴτε γυναικῶν εἴτε ἀμ-

οι
ς.—[c] γίνεσθαι Φr et pr Θ.—[d] ἔγγονα Π.—[e] μέλλοι Φm, μέλλει Ξ.—[f] νομοθετηταὶ Θ.—[g] ἔσονται om ΘΠΦDKqrmr.—[h] ποιήσωμεν v.—[i] πολέμους ΑΞΠΦrm : πολεμίους *ς.—[k] τε καὶ νόσους ΑΞrm.—[l] δέ Kr.—[m] δὲ DKq, τε r.—[n] γέρας v.—[o] ἆθλα δοτέον δ' αὐτοῖς ἄλλα v.—[p] ἀφθονωτέρα q.—[q] ἀμφότερα ΑΘΞΠΦmr : ἀμφό-

ἀκρότατον] Quamvis ἀκρότατον agnoscere videatur Ficinus, qui interpretatur, *Si armentum futurum sit excellentissimum*, suspectum tamen habeo: et vereor ne pro ἀκεραιότατον aut ἀκρατότατον irrepserit. Dicit certe paulo post, εἴπερ μέλλει καθαρὸν τὸ γένος τῶν φυλάκων ἔσεσθαι. In eo qui proxime sequitur versu non dubito quin scribendum sit πάντας. Steph.

ἀκρότατον] Stephani correctio, quanquam ingeniosa, tamen non necessaria est. In sequentibus Steph. corrigebat πάντας pro πάντα, ut Ficinus videtur legisse vertens, *ab omnibus, præterquam a principibus, ignorari*. Sed e verbis πλὴν αὐτοὺς τοὺς ἄρχοντας facile suppleri potest τοὺς ἄλλους. Ast.

ξυνέρξεως] Cap. ix. (p. 461. B.) μὴ ξυνέρξαντος ἄρχοντος. Timæus p. 18. D. ἆρ' οὐ μεμνήμεθα, ὡς τοὺς ἄρχοντας ἔφαμεν καὶ τὰς ἀρχούσας δεῖν ἐς τὴν τῶν γάμων ξύνερξιν λάθρα μηχανᾶσθαι κλήροις τισίν, ὅπως οἱ κακοὶ χωρὶς οἵ τ' ἀγαθοὶ ταῖς ὁμοίαις ἑκάτεροι ξυλλέξονται καὶ μή τις αὐτοῖς ἔχθρα διὰ ταῦτα γίγνηται, τύχην ἡγουμένοις αἰτίαν τῆς ξυλλέξεως. Ast.

§. 9. παραλαμβάνουσαι] Malim παραλαμβάνουσιν. Ad participium intelligendum esset εἰσίν, de quo vid. nostra ad Phædr. 331. Ast.

φότεραι—,[q] κοιναὶ μὲν[r] γάρ που καὶ ἀρχαὶ[s] γυναιξί τε καὶ ἀνδράσιν. Ναί. Τὰ μὲν δὴ τῶν ἀγαθῶν, δοκῶ, λαβοῦσαι εἰς τὸν[t] σηκὸν οἴσουσι παρά τινας τροφούς,[u] χωρὶς οἰκούσας ἔν τινι μέρει τῆς πόλεως· τὰ δὲ τῶν χειρόνων, καὶ ἐάν τι τῶν ἑτέρων ἀνάπηρον γίγνηται,[v] ἐν ἀποῤῥήτῳ τε καὶ ἀδήλῳ κατακρύψουσιν ὡς πρέπει. Εἴπερ μέλλει,[w] ἔφη, καθαρὸν τὸ γένος τῶν φυλάκων ἔσεσθαι. Οὐκοῦν καὶ τροφῆς οὗτοι ἐπιμελήσονται, τάς τε μητέρας ἐπὶ τὸν σηκὸν ἄγοντες, ὅταν σπαργῶσι, πᾶσαν μηχανὴν μηχανώμενοι ὅπως μηδεμία τὸ αὑτῆς αἰσθήσεται, καὶ ἄλλας γάλα[x] ἐχούσας ἐκπορίζοντες, ἐὰν μὴ αὗται[y] ἱκαναὶ ὦσι; καὶ αὐτῶν τούτων ἐπιμελήσονται, ὅπως μέτριον χρόνον[z] θηλάσονται,[a] ἀγρυπνίας[b] δὲ καὶ τὸν ἄλλον πόνον τιτθαῖς[c] τε[d] καὶ τροφοῖς παραδώσουσιν; Πολλὴν ῥαστώνην, ἔφη, λέγεις τῆς παιδοποιίας ταῖς τῶν φυλάκων γυναιξίν. Πρέπει γάρ, ἦν δ'
III. i. 237. ἐγώ· τὸ δ' ἐφεξῆς διέλθωμεν ὃ[e] προθυμούμεθα.[f] ἔφαμεν γὰρ δὴ ἐξ ἀκμαζόντων δεῖν[g] τὰ ἔκγονα γίγνεσθαι. Ἀληθῆ.[h] Ἆρ' οὖν σοι ξυνδοκεῖ μέτριος χρόνος ἀκμῆς τὰ εἴκοσιν ἔτη γυναικί, ἀνδρὶ δὲ τὰ τριάκοντα; Τὰ ποῖα αὐτῶν;

τεραι *ϛ.—[r] μὲν om ΘΠΦDKqvr.—[s] γυναικῶν Φ, καὶ αἱ ἀρχαὶ Ξm.—[t] εἴς τινα q.—[u] τροφὰς v.—[v] γένηται ΦKr.—[w] μέλλοι ΑΠDqm.—[x] γάλα om ΘΠΦDKr.—[y] αὐταὶ A.—[z] χόλον, in mg posito χρόνον, D.—[a] θηλάσονται ΘΞΦvr: θηλάσωνται *ϛ.—[b] ἀργυπνίαις (δ) δὲ καὶ τῶν ἄλλων πόνων m.—[c] τιτθαῖς A, ταῖς τίτθαις v: τίτθαις (μηθού) *ϛ.—[d] γε v.—[e] ὧ Ξ.—[f] προμηθούμεθα ΘΠDKr, προθυμούμεθα Ξ, προὐθέμεθα v.—

κοιναὶ—ἀνδράσι] Cf. v. 5. p. 456. A. vii. p. 540. C. Tim. p. 18. D. Vid. Morgenstern. Commentat. p. 222. Ast.

γίγνηται] Cod. Reg. γένηται, in margine vero γίγνεται. Ceterum cf. Aristot. Polit. vii. 16. (14. §. 10. p. 309. Schneid.) Ast.

μέλλει] Ald. μέλλοι, solœce. Ast.

σπαργῶσι] Schol. Ruhnk. p. 163. Ὅμηρος· οὔθατα γὰρ σφαραγεῦντο. τοὺς μαστοὺς πλήρεις ἔχουσι γάλακτος καὶ σπαράττονται ὑπὸ θλίψεως cet. Cf. Ruhnken. ad Tim. Lexic. p. 234. Ast.

θηλάσονται] Ald. et Steph. θηλάσωνται, solœce, Bas. 1. et 2. θηλάσουνται. Ast.

γίγνεσθαι. Ἀληθῆ] Sic Bas. 1. et 2. ut Ficinus, *oportere filios procreari. Diximus.* Vitiose Ald. γίγνεσθαι ἀληθῆ. Ἆρ' οὖν— Attigit hoc etiam Heusde Spec. Crit. p. 116. Mox Bas. 1. et 2. exhibent χρόνον pro χρόνος. Ast.

εἴκοσιν ἔτη] Paulo aliter tempus ineundi matrimonii constituit Aristotel. vii. 16. διὸ τὰς μὲν ἁρμόττει περὶ τὴν ὀκτωκαίδεκα ἐτῶν ἡλικίαν συζευγνῦναι, τοὺς δ' ἑπτὰ καὶ τριάκοντα ἢ μικρόν· ἐν τοσούτῳ γὰρ ἀκμάζουσί τε τοῖς σώμασι σύζευξις ἔσται. Cum Platone fecerunt Aristoxenus Pythagoreus et Ocellus Lucan. de Rer. Natur. c. iv. §. 11. ubi cf. Vizzanius. Ast.

τὰ ποῖα αὐτῶν] I. q. *quosnam eorum annos dicis?* h. e. quidnam dicere vis, hos ipsis annos constituens? Ficinus vertit, *quis horum modus;* et Cornarius qualis vero erit horum ipsorum modus, inquit? haud accurate. Ast.

ἔφη. Γυναικὶ μέν, ἦν δ' ἐγώ, ἀρξαμένῃ ἀπὸ εἰκοσαετί-
δος[i] μέχρι[k] τετταρακονταετίδος[l] τίκτειν τῇ πόλει· ἀνδρὶ δέ,
ἐπειδὰν τὴν ὀξυτάτην δρόμου ἀκμὴν παρῇ, τὸ ἀπὸ τούτου
γεννᾶν τῇ πόλει μέχρι πεντεκαιπεντηκονταέτους.[m] Ἀμ-
φοτέρων γοῦν,[n] ἔφη, αὕτη[o] ἀκμὴ σώματός τε καὶ φρονήσεως. II. 461.
Οὐκοῦν ἐάν τε πρεσβύτερος τούτων ἐάν τε νεώτερος τῶν[p]
εἰς τὸ κοινὸν γεννήσεων[q] ἅψηται, οὔτε ὅσιον οὔτε δίκαιον
φήσομεν[r] τὸ ἁμάρτημα, ὡς παῖδα φιτύοντος[s] τῇ πόλει ὅς,[t]
ἂν λάθῃ,[u] γενήσεται[v] οὐχ ὑπὸ θυσιῶν οὐδ' ὑπὸ εὐχῶν φύς,[w]
ἃς[x] ἐφ'[y] ἑκάστοις[z] τοῖς γάμοις εὔξονται καὶ ἱέρειαι[a] καὶ
ἱερεῖς καὶ ξύμπασα ἡ πόλις ἐξ ἀγαθῶν ἀμείνους καὶ ἐξ
ὠφελίμων ὠφελιμωτέρους ἀεὶ τοὺς ἐκγόνους γίγνεσθαι,
ἀλλ' ὑπὸ σκότου μετὰ δεινῆς ἀκρατίας[b] γεγονώς. Ὀρ-
θῶς, ἔφη. Ὁ αὐτὸς δέ γ', εἶπον, νόμος, ἐάν τις τῶν[c]
ἔτι γεννώντων μὴ ξυνέρξαντος[d] ἄρχοντος ἅπτηται τῶν
ἐν ἡλικίᾳ γυναικῶν· νόθον γὰρ καὶ ἀνέγγυον καὶ ἀνίε-
ρον[e] φήσομεν[f] αὐτὸν παῖδα τῇ πόλει[g] καθιστάναι. Ὀρθό- III. i. 238.
τατα, ἔφη.[h] Ὅταν δὲ δή, οἶμαι, αἵ τε γυναῖκες καὶ οἱ

[g] δεῖν om ΘΦr.—[h] : ἀληθῆ ΑΘΞΠΦ.—[i] εἰκοσιέτιδος Αvm, εἰκοσιετίδος pr Ξ.—
[k] μέχρι om Φr.—[l] τετταρακονταέτιδος ΑΘ, τετταρακοντοέτιδος v, τετταρακονταετί-
δος ΞΠm, om Φr : τεσσαρακονταετίδος *ς.—[m] πεντεκαιπεντηκονταετοῦς r, πέντε-
καιπεντηκοστοῦ ἔτους q.—[n] οὖν ΘΦr.—[o] αὕτη ἡ Φ.—[p] τῶν om Φr.—[q] γεννήσεως
θή
Φr.—[r] φησομεν Ξ, θήσομεν m.—[s] φιτρόντος m, φύοντος v.—[t] ὃς δ' rc Θ.—[u] λάθρῃ
ύ φυς υ
corr q.—[v] γεννήσεται ΑΘΞΠm.—[w] φύσας ΑΠ, φησας Θ, φησας Κ, θύσας m.—
[x] ἃς om ΘΠΚ.—[y] ἐφ' om m et pr Ξ, pro γρ habet Α.—[z] ἑκάστοις γὰρ rc Θ.—[a] ἱέρεια
rrς.—[b] ἀκρατίας v, ἀκρατείας ΘΦDKqmr : ἀκρασίας *ς.—[c] τῶν om Κ.—[d] ξ. Ξm.
θ ῆ ει
—[e] καὶ ἀνίερον om q.—[f] φήσομεν Αm, φήσομεν Ξ : θήσομεν *ς.—[g] τῆς πολεως Κ.
—[h] ἔφη...ἀφήσομεν om Θ.—[i] φήσομεν ΑΞΠΦDKqrmr.—[j] που om Ξm.—[k] αὐτοὺς

εἰκοσέτιδος—τεσσαρακοντούτιδος] Sic scripsimus pro eo, quod vulgo legitur, *εἰκοσαετίδος* et *τεσσαρακονταετίδος*. Eusebius enim (Præp. Evang. xiii. 19. p. 709. A.) et Theodoret. (Therapeut. ix. p. 618. A.) legunt *εἰκοσαέτιδος* et *τεσσαρακονταέτιδος*, unde Atticas formas *εἰκοσέτιδος* et *τεσσαρακοντούτιδος* reposui, vid. Maittair. de Dialect. p. 47. ed. Sturz. et Fischer. ad Well. t. i. p. 272. t. ii. p. 180. Similiter in sequentibus scripsimus *πεντηκοντούτους*, sicut vii. 17. legimus *τριακοντούτεις*. Ceterum cf. Aristotel. Polit. vi. 16. (c. 14. §. 3. et §. 6. p. 307. Schneid.) De Legib. iv. 721. B. vi. 772. D. E. Stob. Serm. cxv. p. 594. v. 14. Ast.

δρόμου] Bas. 1. 2. et Euseb. *δρόμον*. Ast.

ἱέρεια] Ald. Bas. 1. 2. et Stephan. *ἱέρεια*. E Cod. Reg. recepimus *ἱέρειαι*, ut Ficinus vertit, *sacerdotes tam viri, quam mulieres*. Ast.

ὅταν δὲ δὴ] Laudat Theodoret. Therapeut. ix. p. 618. B. ubi *δὴ* desideratur, et *αἱ γυναῖκες οἵ τε ἄνδρες* scriptum reperitur. Ast.

ἄνδρες τοῦ γεννᾶν ἐκβῶσι τὴν ἡλικίαν, ἀφήσομέν[i] που[j] ἐλευ-
θέρους αὐτοὺς[k] συγγίγνεσθαι[l] ᾗ[m] ἂν ἐθέλωσι, πλὴν θυγα-
τρὶ καὶ μητρὶ καὶ ταῖς τῶν θυγατέρων παισὶ καὶ ταῖς ἄνω
μητρός, καὶ γυναῖκας[n] αὖ[o] πλὴν υἱεῖ καὶ πατρὶ καὶ τοῖς[p]
τούτων[q] εἰς τὸ κάτω καὶ ἐπὶ τὸ ἄνω, καὶ ταῦτά γ'[r] ἤδη
πάντα διακελευσάμενοι προθυμεῖσθαι μάλιστα μὲν μηδ'[s]
εἰς φῶς ἐκφέρειν κύημα μηδέν, ἐὰν γένηται, ἐὰν δέ τι[t] βιά-
σηται, οὕτω τιθέναι[u] ὡς οὐκ οὔσης τροφῆς τῷ τοιούτῳ.
Καὶ ταῦτα μέν γ', ἔφη, μετρίως λέγεται· πατέρας δὲ
καὶ θυγατέρας καὶ ἃ νῦν δὴ ἔλεγες, πῶς διαγνώσονται
ἀλλήλων; Οὐδαμῶς, ἦν δ' ἐγώ, ἀλλ' ἀφ'[v] ἧς ἂν ἡμέ-
ρας τις αὐτῶν νυμφίος γένηται, μετ' ἐκείνην δεκάτῳ μηνὶ
καὶ ἑβδόμῳ[w] δὴ ἃ ἂν γένηται ἔκγονα, ταῦτα πάντα προσ-
ερεῖ τὰ μὲν ἄῤῥενα υἱεῖς,[x] τὰ δὲ θήλεα θυγατέρας, καὶ ἐκεῖ-
να ἐκεῖνον πατέρα· καὶ οὕτω δὴ[y] τὰ τούτων ἔκγονα παίδων
παῖδας, καὶ ἐκεῖνα[z] αὖ ἐκείνους πάππους τε καὶ τηθάς,[a] τὰ
δ' ἐν ἐκείνῳ τῷ χρόνῳ γεγονότα ἐν ᾧ αἱ μητέρες καὶ οἱ
III. i. 239. πατέρες[b] αὐτῶν ἐγέννων, ἀδελφάς τε καὶ ἀδελφούς, ὥστε,
ὃ νῦν δὴ ἐλέγομεν, ἀλλήλων μὴ ἅπτεσθαι. ἀδελφοὺς δὲ
καὶ ἀδελφὰς δώσει ὁ νόμος συνοικεῖν, ἐὰν ὁ κλῆρος[c] ταύτῃ
ξυμπίπτῃ[d] καὶ ἡ Πυθία προσαναιρῇ. Ὀρθότατα, ἦ δ'
ὅς.

§. 10. Ἡ μὲν δὴ κοινωνία, ὦ Γλαύκων, αὕτη τὲ καὶ

ἐλευθέρους Ξ, ἐλευθέρους δὲ αὐτοὺς rc Θ.—[l] γίνεσθαι Θ.—[m] ᾧι ΑΠΦvr et pr Θ, ὡς DKq, ὃ m.—[n] καὶ γυναῖκας ΑΘΠΦDKqmr: καὶ τὰς γυναῖκας *s.—[o] αὖ om v.—[p] ταῖς Φmr.—[q] τούτων Avm: τῶν τοιούτων *s.—[r] γὰρ K.—[s] μηδέ γε ἓν A, μηδέ γ' ἓν m.—[t] τις v.—[u] ἐκτιθέναι s.—[v] ἐφ' Φr.—[w] ἑβδόμη Φr.—[x] υἱοὺς r.—[y] δὴ om
τ
v.—[z] ἐκείνου ΑΠm, ἐκεῖνοι v.—[a] τηθάς Av, τιθας Π, τιτθὰς m: τίτθας *s.—[b] οἱ πατέρες καὶ αἱ μητέρες Θ et corr Ξ, οἱ πατέρες καὶ μητέρες Φr.—[c] κληρῶν r.—[d] ξ.

ἀφήσομεν] Bene Steph. correxit vulgatum φήσομεν in Ald. Bas. 1. et 2. Sic et Cod. Reg. Ast.

μάλιστα μὲν] A Theodoreti libro abest μέν. Paulo post Euseb. et Theodoret. μὴ pro μηδ' (Ald. μὴ δ'), quod reponendum videtur esse. Ast.

ἐς φῶς ἐκφέρειν] Quod alias dicitur εἰς φῶς ἄγειν, Tim. p. 91. D. Phædr. p. 261. D. de Legg. ix. p. 869. C. Epist. vii. 341. E. εἰς φῶς προαγαγεῖν. Aristot. Polit. vii. 16. (c. 14. §. 12. p. 310. Schneid.) ἀφεῖσθαι δεῖ τῆς εἰς τὸ φανερὸν γεννήσεως. Ast.

ἐκτιθέναι] De liberorum expositione vide quæ collegit Elmenhorst. ad Minuc. Felic. Octav. p. 289. ed. Ouzel. Ast.

ἀδελφοὺς] Vid. de Legg. viii. p. 418. C. et Spanh. ad Julian. Orat. i. p. 90. Ast.

§. 10. ἡ μὲν δὴ κοιν.] Laudat Stob. xli. p. 255. ubi pro ὡς δὲ legitur ὥστε—βελτίστη (ut Ald. Bas. 1. et 2.)—ποιῶμεν et τὸ δὲ κακοῦ. Ast.

τοιαύτη γυναικῶν τε καὶ παίδων τοῖς φύλαξί σοι τῆς πό-
λεως· ὡς δὲ[e] ἑπομένη τε τῇ ἄλλῃ πολιτείᾳ καὶ μακρῷ
βελτίστη, δεῖ δὴ τὸ μετὰ τοῦτο βεβαιώσασθαι παρὰ τοῦ
λόγου. ἢ πῶς ποιῶμεν;[f] Οὕτω νὴ Δία, ἦ δ᾽ ὅς.[g] Ἆρ᾽ οὖν II. 462.
οὐχ ἥδε ἀρχὴ τῆς ὁμολογίας, ἐρέσθαι ἡμᾶς αὐτούς τί ποτε
τὸ μέγιστον ἀγαθὸν ἔχομεν[h] εἰπεῖν εἰς πόλεως κατασκευήν,
οὗ δεῖ[i] στοχαζόμενον τὸν νομοθέτην τιθέναι τοὺς νόμους, καὶ
τί μέγιστον κακόν, εἶτα ἐπισκέψασθαι ἆρα, ἃ νῦν δὴ[k] δι-
ήλθομεν, εἰς μὲν τὸ τοῦ ἀγαθοῦ ἴχνος ἡμῖν ἁρμόττει,[l] τῷ[m] δὲ
τοῦ κακοῦ ἀναρμοστεῖ; Πάντων μάλιστα, ἔφη. Ἔχομεν
οὖν τι μεῖζον κακὸν πόλει[n] ἢ ἐκεῖνο[o] ὃ ἂν αὐτὴν[p] διασπᾷ
καὶ ποιῇ[q] πολλὰς ἀντὶ μιᾶς; ἢ μεῖζον ἀγαθὸν τοῦ ὃ ἂν
ξυνδῇ[r] τε καὶ ποιῇ[s] μίαν; Οὐκ ἔχομεν. Οὐκοῦν ἡ μὲν
ἡδονῆς τε καὶ λύπης κοινωνία ξυνδεῖ, ὅταν[t] ὅτι μάλιστα
πάντες οἱ πολῖται τῶν αὐτῶν γιγνομένων τε καὶ ἀπολλυμέ-
νων παραπλησίως χαίρωσι καὶ λυπῶνται; Παντάπασι μὲν III. i. 240.
οὖν, ἔφη. Ἡ δέ γε τῶν τοιούτων ἰδίωσις διαλύει, ὅταν οἱ
μὲν περιαλγεῖς, οἱ δὲ περιχαρεῖς γίγνωνται ἐπὶ τοῖς αὐτοῖς
παθήμασι τῆς πόλεώς τε καὶ τῶν ἐν τῇ[u] πόλει. Τί δ᾽ οὔ;
Ἆρ᾽ οὖν ἐκ τοῦδε τὸ τοιόνδε γίγνεται, ὅταν μὴ ἅμα φθέγ-
γωνται ἐν τῇ πόλει τὰ τοιάδε ῥήματα, τό τε[v] ἐμόν καὶ τὸ
οὐκ ἐμόν; καὶ περὶ τοῦ ἀλλοτρίου κατὰ ταὐτά; Κομιδῇ[w]
μὲν οὖν. Ἐν ᾗ τινὶ δὴ πόλει πλεῖστοι ἐπὶ τὸ αὐτὸ κατὰ
ταὐτὰ τοῦτο λέγουσι[x] τὸ ἐμόν καὶ[y] τὸ οὐκ[z] ἐμόν, αὕτη

ἂν...γένοιτο om υ.—[x] ἀγαθὴ Φ, ἀγαθὰ τ.—[y] πόλει τ, πόλις Φ, πόλεως Θ.—[z] μάχοιτο τὸ ἥκιστα m.—[a] ἑαυτοὺς Am, ἑαυτοῖsοὺς υ: ἑαυτοῖς *ς.—[b] στρατεύοιτο m.—[c] ἐπιτεταγμένου q.—[d] πάντη ταύτη υ.—[e] τε ΘΠΦDKqυτ.—[f] ὅσ' υ.—[g] πάντα

ἀλγούντων] Bas. 2. ἀλγοῦντες et τοὺς prætermittit ante ἡμετέρους. Ast.

§. 17. τιθῶμεν] Laudat Stob. xli. p. 258. usque ad υἱεῖς. Ast.

ἐπεὶ ὅτι γε] Intellige, *namque per se patet*, s. dictu non opus est, vid. ad i. 23. p. 352. B. Ast.

μάχοιτο] Sic Stob. Ald. Bas. 1. et 2. male, si quid video, Stephanus correxit μάχοιντο, quum e præcedentibus nihil aliud nisi πόλις ut subjectum, quod dicitur, suppleri possit. Haud dubie vero Stephanus propter sequens γιγνώσκοντές τε καὶ ἀνακαλοῦντες scripsit μάχοιντο; at participia illa recte habent, etiam μάχοιτο præcedente; sensu videlicet respiciunt πόλιν, sicuti cives sæpissime pro urbe et urbs pro civibus ponuntur; hinc etiam nominativum sequuntur casum. Ast.

ἑαυτοῖς] Dicunt Græci ὄνομα καλεῖν τινί τι, vid. Heind. ad Phædr. p. 222. ad Cratyl. init. Ast.

ἃ παραλείπεται] Non male fortasse hæc verba ἃ παραλείπεται ita acciperentur quasi per parenthesin posita. Steph.

τα ταῦτα[g] ὅτι εἴη ἄν, καὶ ἄλλα γε[h] μυρία, εἰ γένοιτο ἡ[i] πολιτεία αὕτη,[k] μηκέτι πλείω περὶ αὐτῆς λέγε, ἀλλὰ τοῦτο αὐτὸ[l] ἤδη[m] πειρώμεθα ἡμᾶς αὐτοὺς πείθειν, ὡς δυνατὸν καὶ ᾗ δυνατόν, τὰ δ' ἄλλα χαίρειν ἐῶμεν. Ἐξαίφνης γε III. i. 258. II. 472. σύ, ἦν δ' ἐγώ, ὥς περ καταδρομὴν[n] ἐποιήσω ἐπὶ τὸν λόγον μου, καὶ οὐ συγγιγνώσκεις[o] στρατευομένῳ· ἴσως[p] γὰρ οὐκ οἶσθα ὅτι μόγις μοι τὼ δύο[q] κύματε ἐκφυγόντι[r] νῦν τὸ μέγιστον καὶ χαλεπώτατον τῆς τρικυμίας ἐπάγεις, ὃ ἐπειδὰν ἴδῃς τε καὶ ἀκούσῃς, πάνυ συγγνώμην ἕξεις, ὅτι εἰκότως ἄρα ὤκνουν τε καὶ ἐδεδοίκη[s] οὕτω παράδοξον λέγειν λόγον[t] τε καὶ ἐπιχειρεῖν διασκοπεῖν. Ὅσῳ ἄν, ἔφη, τοιαῦτα πλείω λέγῃς, ἧττον ἀφεθήσει ὑφ' ἡμῶν πρὸς τὸ μὴ εἰπεῖν[u] πῇ δυνατὴ γίγνεσθαι[v] αὕτη ἡ πολιτεία. ἀλλὰ λέγε καὶ[w] μὴ διάτριβε.

Οὐκοῦν, ἦν δ' ἐγώ, πρῶτον μὲν τόδε χρὴ[x] ἀναμνησθῆναι, ὅτι ἡμεῖς ζητοῦντες[y] δικαιοσύνην οἷόν ἐστι καὶ ἀδικίαν[z] δεῦρο ἥκομεν; Χρή· ἀλλὰ τί τοῦτό γ';[a] ἔφη. Οὐδέν. ἀλλ' ἐὰν εὕρωμεν οἷόν ἐστι[b] δικαιοσύνη, ἆρα καὶ ἄνδρα τὸν δίκαιον ἀξιώσομεν μηδὲν δεῖν[c] αὐτῆς ἐκείνης διαφέρειν, ἀλλὰ πανταχῇ τοιοῦτον εἶναι οἷον δικαιοσύνη ἐστίν; ἢ ἀγαπήσομεν ἐὰν ὅτι ἐγγύτατα αὐτῆς[d] ᾖ καὶ πλεῖστα τῶν

ταῦτα ΑΠΦrτ, om DKq : ταῦτα πάντα *ς.—[h] γε om K.—[i] ἡ om m.—[k] τοιαύτη v. —[l] αὐτοὶ K.—[m] ἤδη ante αὐτὸ ponit τ.—[n] καταδρομὴν ὥσπερ ΘΦτ.—[o] γινώσκεις pr Θ, σὺ γινώσκεις rc Θ, συγγιγνώσκει m.—[p] καὶ ἴσως Ξm.—[q] δύο Ξm : δύω *ς.—[r] ἔφυγον. τί DK, φυγόντι mg D.—[s] ἐδεδοίκειν omnes cum ς, sed ΑΠ in ultima syllaba correcti.—[t] λέγειν λόγον ΑΘΠΦDKqτ : λόγον λέγειν *ς.—[u] λέγειν ΘΦτ et γρ Ξ.—[v] γίγνεται Ξm.—[w] καὶ om K.—[x] τόδε χρὴ ΑΞm : χρὴ τόδε *ς.—[y] ζητοῦντι m.—[z] ἀδικία ΘΠD.—[a] γ' add A.—[b] ἐστι om ΘΦτ.—[c] δεῖν om K.—[d] αὐτῆς ἐγγύ-

στρατευομένῳ] Quid sibi velit hoc verbum, equidem divinare nequeo. Ut paucis dicam, scribendum esse suspicor *στρεφομένῳ : mihi effugium quærenti et difficillimum, qui imminet, sermonem evitare cupienti.* Vid. de hoc verbo nostra ad Phædr. p. 252. Ficinus e voce στρατευομένῳ artificiosa interpretatione hunc sensum extorsit, *neque mihi ignoscis militiæ laboribus jam defesso.* Ast.

τρικυμίας] *Fluctus maximi s. decumani*, v. Politiani Miscell. Syllog. i. 86. t. i. Gruteri Thesaur. Crit. p. 103. Barnes. ad Eurip. Tro. 83. et interprett. ad Ovid. Metamorph. xi. 530. Trist. i. 2. 50. Nihil vero frequentius est translato vocis τρικυμία usu (v. Lambin. ad Lucret. iii. 299. Dorvill. ad Charit. p. 243. Drakenb. ad Sil. Ital. ix. 527.); inprimis de oratione difficili frequentatur. Sic Euthydem. 293. A. σῶσαι ἡμᾶς —ἐκ τῆς τρικυμίας τοῦ λόγου. Vid. Dorvill. l. l. Ceterum imitatus est hunc locum Plutarch. de Ser. Num. Vind. p. 549. E. τί γὰρ δεῖ, τὸ τρίτον ἐπενεγκεῖν κῦμα καὶ προσκατακλῦσαι τὸν λόγον. Ast.

λέγῃς] Ald. Bas. 1. et 2. λέγεις. Mox Ald. Bas. 1. et 2. ἀναγκαζόμεθα. Ast.

ἄλλων ἐκείνης μετέχῃ; Οὕτως, ἔφη· ἀγαπήσομεν. Πα-
ραδείγματος ἄρα ἕνεκα, ἦν δ' ἐγώ, ἐζητοῦμεν[e] αὐτό[f] τε
III. i. 259. δικαιοσύνην[g] οἷόν ἐστι, καὶ ἄνδρα τὸν τελέως[h] δίκαιον, ἦ[i]
γένοιτο καὶ οἷος ἂν εἴη γενόμενος, καὶ ἀδικίαν αὖ καὶ τὸν
ἀδικώτατον, ἵνα εἰς ἐκείνους ἀποβλέποντες, οἷοι ἂν ἡμῖν
φαίνωνται εὐδαιμονίας τε πέρι καὶ τοῦ ἐναντίου, ἀναγκα-
ζώμεθα καὶ περὶ ἡμῶν αὐτῶν ὁμολογεῖν, ὃς ἂν ἐκείνοις ὅτι[k]
ὁμοιότατος ᾖ, τὴν ἐκείνοις[l] μοῖραν ὁμοιοτάτην ἕξειν, ἀλλ'
οὐ τούτου ἕνεκα, ἵν' ἀποδείξωμεν ὡς δυνατὰ ταῦτα γίγνεσ-
θαι. Τοῦτο μέν, ἔφη, ἀληθὲς λέγεις. Οἴει ἂν οὖν[m] ἧτ-
τόν τι ἀγαθὸν ζωγράφον εἶναι ὃς ἂν γράψας παράδειγμα,
οἷον[n] ἂν εἴη[o] ὁ κάλλιστος ἄνθρωπος, καὶ πάντα εἰς τὸ
γράμμα ἱκανῶς ἀποδοὺς μὴ ἔχῃ[p] ἀποδεῖξαι[q] ὡς καὶ δυνα-
τὸν γενέσθαι τοιοῦτον ἄνδρα; Μὰ Δί' οὐκ ἔγωγ', ἔφη. Τί
οὖν; οὐ καὶ ἡμεῖς, φαμέν, παράδειγμα ἐποιοῦμεν λόγῳ
ἀγαθῆς πόλεως; Πάνυ γε. Ἧττόν τι οὖν οἴει ἡμᾶς λέ-
γειν[r] εὖ τούτου ἕνεκα, ἐὰν μὴ ἔχωμεν ἀποδεῖξαι ὡς δυνα-
τὸν οὕτω πόλιν οἰκῆσαι ὡς ἐλέγετο; Οὐ δῆτα, ἔφη. Τὸ
μὲν τοίνυν ἀληθές, ἦν δ' ἐγώ, οὕτως· εἰ δὲ δὴ[s] καὶ τοῦτο
προθυμηθῆναι δεῖ σὴν χάριν, ἀποδεῖξαι πῇ μάλιστα καὶ
κατὰ τί δυνατώτατ'[t] ἂν εἴη, πάλιν μοι πρὸς τὴν τοιαύτην[u]
ἀπόδειξιν τὰ αὐτὰ διομολόγησαι.[v] Τὰ ποῖα; Ἆρ' οἷόν
III. i. 260. II. 473. τέ τι πραχθῆναι ὡς λέγεται, ἢ φύσιν ἔχει πρᾶξιν[w] λέξεως
ἧττον ἀληθείας ἐφάπτεσθαι, κἂν εἰ μή τῳ δοκοῖ;[x] ἀλλὰ

τατα Φr.—[e] ζητοῦμεν ΘΠΦDKqvr.—[f] αὐτήν corr q.—[g] δικαιοσύνη K.—[h] τελέως add Avm.—[i] libri εἰ.—[k] ὅτι om Θϕr.—[l] ἐκείνης ΑΘΠDK.—[m] οὖν ἂν v.—[n] οἷος ς.—[o] ἢ Ξm.—[p] ἔχῃ ΑΠKvm : ἔχοι *ς.—[q] ἀποδεῖξαι ΑΞm : ἐπιδεῖξαι *ς.—[r] λέγειν εὖ q : εὖ λέγειν ς.—[s] δεῖ K.—[t] δυνατόν τ' Φr.—[u] αὐτὴν K.—[v] διομολογῆσαι r, ὁμολόγησαι v.—[w] πράξειν Φ.—[x] δοκεῖ Πq, δοκοῖ Ξ, δοκῇ cum *ς corr A.—[y] σὺ om

τὴν ἐκείνοις] Ald. Bas. 1. 2. et Cod. Reg. *τὴν ἐκείνης*, quod, Cornario præeunte, ut qui verterit, *eum qui illius simillimus sit, sortem illius simillimam habiturum esse*, correxit Steph. Mox Bas. 1. et 2. *οἰκεῖσαι* pro *οἰκῆσαι*. Ast.

τὸ μὲν τοίνυν] Laudat Stob. xli. p. 259. ubi scriptum reperitur *εἰ δὴ καὶ—χρή*. Ast.

πρὸς τὴν αὐτὴν] Sic Cod. Reg. addicente Ficino, *rursus ad hanc demonstrationem hæc ipsa mihi fateare oportet.* Vulgo et Stob. *τὴν τοιαύτην*. Mox Ald. Bas. 1. et 2. *διομολογῆσαι*, Stob. *διωμολόγησαι*, quocirca Stephanus recte scripsit *διομολόγησαι*. Ast.

κἂν εἰ—δοκεῖ] Vulgo *δοκῇ*, solœce; *κἂν εἰ* enim vel cum indicativo vel cum optativo construitur, v. Phileb. 58. C. D. Phædon. c. 15. Alcib. i. p. 35. D. Theag. 130. D. Xenoph. Symp. ii. 20. Ast. qui sic in Addend. ‘Rectius habeo, quod recepi, *κἂν μὴ—δοκῇ*.’

σὺ[y] πότερον[z] ὁμολογεῖς οὕτως ἢ οὔ; Ὁμολογῶ, ἔφη. Τοῦτο μὲν δὴ μὴ ἀνάγκαζέ με, οἷα τῷ λόγῳ διήλθομεν, τοιαῦτα παντάπασι καὶ τῷ ἔργῳ δεῖν[a] γιγνόμενα ἀποφαίνειν· ἀλλ' ἐὰν οἷοί τε γενώμεθα εὑρεῖν ὡς ἂν ἐγγύτατα τῶν εἰρημένων πόλις οἰκήσειε, φάναι ἡμᾶς ἐξευρηκέναι ὡς δυνατὰ ταῦτα γίγνεσθαι ἃ σὺ ἐπιτάττεις. ἢ οὐκ ἀγαπήσεις τούτων τυγχάνων; ἐγὼ μὲν γὰρ ἂν[b] ἀγαπῴην. Καὶ γὰρ ἐγώ, ἔφη. [§. 18.] Τὸ δὲ δὴ μετὰ τοῦτο, ὡς ἔοικε, πειρώμεθα ζητεῖν τε[c] καὶ ἀποδεικνύναι, τί ποτε νῦν κακῶς ἐν ταῖς πόλεσι πράττεται δι' ὃ οὐχ οὕτως οἰκοῦνται, καὶ τίνος ἂν σμικροτάτου μεταβαλόντος ἔλθοι[d] εἰς τοῦτον τὸν τρόπον τῆς πολιτείας πόλις, μάλιστα μὲν ἑνός, εἰ δὲ μή, δυοῖν, εἰ δὲ μή, ὅτι ὀλιγίστων[e] τὸν ἀριθμὸν καὶ σμικροτάτων[f] τὴν δύναμιν. Παντάπασι μὲν οὖν, ἔφη. Ἑνὸς μὲν τοίνυν, ἦν δ' ἐγώ, μεταβαλόντος[g] δοκοῦμέν[h] μοι[i] ἔχειν δεῖξαι ὅτι μεταπέσοι[k] ἄν, οὐ μέντοι σμικροῦ γε οὐδὲ ῥᾳδίου, δυνατοῦ δέ. Τίνος; ἔφη. Ἐπ' αὐτὸ[l] δή,[m] ἦν δ' ἐγώ, εἶμι ὃ τῷ μεγίστῳ προεικάζομεν[n] κύματι. εἰρήσεται δ'[o] οὖν, εἰ καὶ μέλλει[p] γέλωτί τε ἀτεχνῶς[q] ὥσπερ κῦμα ἐκ- III. i. 261.
γελῶν καὶ ἀδοξίᾳ κατακλύσειν. σκόπει δὲ[r] ὃ μέλλω λέ-

DKq.—[z] πρότερον ΘΠΦΚr et pr D.—[a] δεῖν ΑΞqυm, δεῖ ΘΠΦDKr : δὴ ϛ.—[b] ἂν om ΘΞΦr.—[c] τε om K.—[d] ἔλθη ΘΠΦDKqr.—[e] ὀλιγοστῶν ΘΠΦΚ.—[f] πικροτάτων Φr.—[g] μεταβαλλόντος Π, μεταβάλλοντος Ξm.—[h] δοκεῖ μέν ϛ.—[i] μοι om Φr.—[k] μεταπείσοι ΦDr.—[l] αὐτῷ υ.—[m] δὴ om Θφr, δ' υ.—[n] προεικάζομεν ΑΘΠΦDKqr, προσηκάζομεν υ : παρεικάζομεν *ϛ. legendum προῃκάζομεν.—[o] δ' om K.—[p] μέλλοι Φ.

ἔργῳ δὴ] Ald. Bas. 1. 2. et Stob. δεῖ, solemni permutatione. Ast.

καὶ γὰρ ἐγὼ] Stob. ἔγωγε et in prægressis ante v. ἀγαπῴην prætermittit ἄν. Ast.

§. 18. *δοκοῦμέν μοι*] Sic Cod. Reg. et Stob. Ald. Bas. 1. 2. et Steph. *δοκεῖ μέν μοι*. Etiam Ficinus habet: *uno quodam mutato ostendere possumus*. Ast. qui sic in Addend. ‘Scribendum, ni fallor, *δοκῶ μέν μοι*, quod reposuimus. *Δοκεῖ μοι* et *δοκῶ μοι* sæpius inter se permutata reperiuntur. Vid. Boissonad. ad Philostrat. p. 330.’

κύματι] Stob. *σχήματι*, vitiose. Ast.

ὥσπερ κῦμα ἐκγελῶν] Hæc verba pro insititiis habeo; nimirum *κῦμα* verbi *κατακλύζειν* explicandi causa simulque respectu ad præcedentia appositum est, et *ἐκγελῶν*, ex prægresso *γέλωτι* fictum, imagini uberius adumbrandæ inservit. Existimare enim non possum, Platonem vocem *κῦμα* modo prægressam ad novam imaginem exhibendam usurpasse, et in eodem orationis circuitu, in quo *γέλωτι* præcedit, *ἐκγελῶν* posuisse. Accedit, quod, rationem grammaticam si respexeris, in orationis nexum verba illa neutiquam quadrant, namque vel *κύματι* respectu ad *γέλωτι*, vel *γέλως* respectu ad *κῦμα* esse deberet. Orationis objectum, quod dicitur, est subjectum verbi *εἰρήσεται*, scilicet *ἓν οὐ σμικρόν γε οὐδὲ ῥᾴδιον, δυνατὸν δὲ* (et hæc est sententia statim pronuntianda, aut philosophos regere aut reges philosophari debere), et subjectum verborum *εἰ καὶ μέλλει καταλύσειν* (int. *τοῦτο τὸ ῥῆμα*) tertia est persona eaque

γειν. Λέγε, ἔφη. Ἐὰν μή,[s] ἦν δ' ἐγώ, ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν[t] ἐν ταῖς πόλεσιν ἢ οἱ βασιλῆς τε νῦν λεγόμενοι καὶ δυνάσται φιλοσοφήσωσι γνησίως τε[u] καὶ ἱκανῶς, καὶ τοῦτο[v] εἰς ταὐτὸν ξυμπέσῃ, δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία, τῶν δὲ νῦν πορευομένων χωρὶς ἐφ' ἑκάτερον αἱ πολλαὶ φύσεις ἐξ ἀνάγκης ἀποκλεισθῶσιν, οὐκ ἔστι κακῶν παῦλα, ὦ φίλε Γλαύκων, ταῖς πόλεσι, δοκῶ δὲ[w] οὐδὲ τῷ ἀνθρωπίνῳ γένει, οὐδὲ αὕτη[x] ἡ πολιτεία μή ποτε[y] πρότερον φυῇ[z] τε εἰς τὸ δυνατὸν καὶ φῶς ἡλίου ἴδῃ,[a] ἣν νῦν λόγῳ διεληλύθαμεν. ἀλλὰ τοῦτό ἐστιν ὃ ἐμοὶ πάλαι[b] ὄκνον ἐντίθησι λέγειν, ὁρῶντι ὡς πολὺ παρὰ δόξαν ῥηθήσεται· χαλεπὸν γὰρ ἰδεῖν ὅτι οὐκ ἂν ἄλλη[c] τις εὐδαιμονήσειεν[d] οὔτε ἰδίᾳ οὔτε δημοσίᾳ. Καὶ ὅς, Ὦ Σώκρατες, ἔφη, τοιοῦτον ἐκβέβληκας ῥῆμά τε καὶ λόγον, ὃν εἰπὼν ἡγοῦ ἐπὶ σὲ πάνυ πολλούς τε καὶ οὐ[e] φαύλους νῦν οὕτως, οἷον ῥίψαντας
II. 474. τὰ ἱμάτια, γυμνοὺς[f] λαβόντας ὅ τι ἑκάστῳ παρέτυχεν ὅπλον, θεῖν διατεταμένους[g] ὡς θαυμάσια ἐργασομένους·[h]

—[q] γέλως τέ τις ἀτεχνῶς q.—[r] δὴ ΦΚ.—[s] ἐὰν δὲ μὴ ΘΠDKv𝔯, ἐὰν δὴ μὴ Φq.—[t] βασιλεῖς omnes cum ς, sed ΑΠ in ultimis litteris correcti.—[u] τε om ΘΦ𝔯.—[v] ταυτὸ Ξ.—[w] δ' 𝔪.—[x] αὐτὴ v.—[y] φυῇ τὲ Φ𝔯.—[z] φύῃ Κ, φύει Φ𝔯, φύηται omisso τε v.—[a] ἴδοι 𝔯.—[b] πάλιν ΘΠΦDK𝔯.—[c] ἄλλῃ q.—[d] εὐδοκιμήσειεν 𝔪 et, γρ ς, Ξ.—[e] οὐ om 𝔪.—[f] γυμνοῦν 𝔪.—[g] διατεταμένους ΑΠΦ𝔪𝔯, διατεταγμένως q : διατεταγμένους

infinita (nostrum *man*, v. ad iii. p. 400. A.) Ceterum Stob. exhibet ἀταξίαν καταλύσειν. Ast.

ἐὰν μὴ] Nobilissimum hoc effatum dici non potest, quot vel imitati fuerint vel respexerint. En quæ nunc ad manum sunt: Platon. quæ fertur, Epist. vii. p. 326. A. B. Muson. in Stob. xlvi. p. 336. Aristid. Orat. t. ii. p. 154. Themist. Orat. ii. p. 40. A. viii. p. 107. C. Justin. Mart. Apolog. i. 3. p. 45. B. ed. Venet. Gregor. Naz. Epist. 140. p. 866. B. Lactant. Div. Institut. iii. 21. §. 6. De Marco Aurelio Julius Capitolin. in Histor. Aug. c. xxvii. sententia Platonis semper in ore illius fuit, florere civitates, si aut philosophi imperarent, aut imperatores philosopharentur. Joann. Sarisbur. Polycrat. iv. 6. 'tum demum respublicas fore beatas asseruit (Socrates), si eas philosophi regerent aut rectores earum studere sapientiæ contigisset.' Alia laudavit Gataker ad M. Antonin. Inepte, ut solebat de Platonica philosophia, judicavit de hac sententia Meiners in Hist. Doctr. Gr. t. ii. p. 786. Ast.

τοῦτο ἐς ταυτὸν ξυμπέσῃ] Respexit Plutarch. Num. p. 73. D. et Ciceron. Vit. p. 887. E. Ast.

μήποτε—φυῇ] Vide ad i. 15. Ast.

χαλεπὸν γὰρ ἰδεῖν] Magis placet quæ affertur lectio, χαλεπὸν γὰρ πείθειν ὅτι οὐκ ἂν etc. Steph.

πείθειν] Correctio hæc est Cornarii, quæ haud dubie e Ficini versione (*nam haud facile persuadetur*) fluxit. Ald. Bas. 1. et 2. vitiose habent ἰδεῖν. Ast.

ἐμβέβληκας] De conjectura reposuimus (v. ad i. 17. οἷον ἐμβαλὼν λόγον) pro ἐκβέβληκας. Ast.

νῦν οὕτως] *Sic ut sunt*, h. e. statim. vid. Markland. ad Maxim. Tyr. xvi. 1. et nostra ad Phædr. p. 247. Sequens οἷον est *fere, fortasse.* Ast.

διατεταμένους] *Contento s. citato gradu*, scripsimus pro eo, quod vulgo legitur, διατεταγμένους, quod sensui adver-

οὓς εἰ μὴ ἀμυνεῖ[i] τῷ λόγῳ καὶ ἐκφεύξει, τῷ ὄντι τωθαζό-
μενος δώσεις δίκην. Οὐκοῦν σύ μοι, ἦν δ' ἐγώ, τούτων[k]
αἴτιος; Καλῶς γ', ἔφη, ἐγὼ ποιῶν. ἀλλά τοί σε[l] οὐ προ- III. i. 262.
δώσω, ἀλλ' ἀμυνῶ οἷς δύναμαι· δύναμαι δὲ εὐνοίᾳ τε καὶ
τῷ[m] παρακελεύεσθαι, καὶ ἴσως ἂν ἄλλου του ἐμμελέστε-
ρόν σοι ἀποκρινοίμην.[n] ἀλλ' ὡς ἔχων τοιοῦτον βοηθὸν πειρῶ
τοῖς ἀπιστοῦσιν ἐνδείξασθαι ὅτι ἔχει ᾗ σὺ λέγεις. Πει-
ρατέον, ἦν δ' ἐγώ, ἐπειδὴ καὶ σὺ[o] οὕτω μεγάλην ξυμμα-
χίαν παρέχει.[p] ἀναγκαῖον οὖν μοι δοκεῖ, εἰ μέλλομέν[q] πῃ[r]
ἐκφεύξεσθαι οὓς λέγεις, διορίσασθαι πρὸς αὐτοὺς τοὺς φι-
λοσόφους τίνας λέγοντες[s] τολμῶμεν φάναι δεῖν ἄρχειν, ἵνα
διαδήλων γενομένων[t] δύνηταί τις ἀμύνεσθαι ἐνδεικνύμενος
ὅτι τοῖς μὲν προσήκει φύσει[u] ἅπτεσθαί τε φιλοσοφίας[v] ἡγε-
μονεύειν τ' ἐν πόλει,[w] τοῖς δ' ἄλλοις μήτε ἅπτεσθαι ἀκο-
λουθεῖν τε τῷ ἡγουμένῳ. Ὥρα ἂν εἴη, ἔφη,[x] ὁρίζεσθαι. Ἴθι
δή, ἀκολούθησόν μοι τῇδε, ἐὰν αὐτὸ ἁμῇ γέ πῃ[y] ἱκανῶς
ἐξηγησώμεθα. Ἄγε, ἔφη.[z] Ἀναμιμνήσκειν οὖν γε, ἦν δ'
ἐγώ, δεήσει, ἢ μέμνησαι, ὅτι ὃν ἂν φῶμεν φιλεῖν τι,[a] δεῖ φα-
νῆναι αὐτόν, ἐὰν ὀρθῶς λέγηται, οὐ τὸ μὲν φιλοῦντα ἐκείνου,
τὸ δὲ μή, ἀλλὰ πᾶν στέργοντα; [§. 19.] Ἀναμιμνήσκειν,
ἔφη,[b] ὡς ἔοικε, δεῖ· οὐ γὰρ πάνυ γε ἐννοῶ. Ἄλλῳ,[c] εἶπον, ἔπρε-
πεν, ὦ Γλαύκων, λέγειν ἃ λέγεις· ἀνδρὶ δ' ἐρωτικῷ οὐ πρέπει
ἀμνημονεῖν ὅτι πάντες οἱ ἐν ὥρᾳ τὸν φιλόπαιδα καὶ ἐρωτικὸν III. i. 263.
ἁμῇ γέ πῃ δάκνουσί τε καὶ κινοῦσι, δοκοῦντες ἄξιοι εἶναι
ἐπιμελείας τε καὶ τοῦ ἀσπάζεσθαι. ἢ οὐχ οὕτω ποιεῖτε
πρὸς τοὺς καλούς; ὁ μέν, ὅτι σιμός, ἐπίχαρις κληθεὶς ἐπαι-

*ς.—[h] ἐργασαμένους Π.—[i] ἀμυνῇ DKqr et corr A, ἀμύνεις r.—[k] τούτων ἦν δ' ἐγὼ K.—[l] ἀλλ' ἀτοῖς r.—[m] τὸ m.—[n] ἀποκρινοῦμαι ΘΦr.—[o] σοι m.—[p] παρέχει Πm, παρέχῃ ΘΞΦrr et corr A: παρέχεις *ς.—[q] μέλλοιμί q.—[r] ποι Θ.—[s] λέγοντας m.—[t] γινομένων Θr.—[u] φύσει om Ξr.—[v] φιλοσοφία Θ.—[w] ἐν πόλει ΑΘΠr, ἐν πολέμῳ Φr: ἐν τῇ πόλει *ς.—[x] ἔφη εἴη Φrr.—[y] ἀμηγέπῃ ΘΠΦΚ.—[z] ἄγε ἔφη ΑΘΠΦDK qr: ἄγε δὴ ἔφη *ς.—[a] . τί A.—[b] τοίνυν ΘΦr.—[c] ἀλλ' ὡς, in mg posito ἄλλον, D.

satur; nam ecquæ *τάξις* esse potest in turba tumultuantium? Et centies hæc verba inter se permutata inveniuntur. De quo vid. Dorvill. ad Charit. p. 643. Abresch. ad Thucyd. p. 788. et Heusd. Spec. Crit. p. 105. Ast.

τωθαζόμενος] I. e. *λοιδορούμενος*; vid. Schol. ad Hipp. Maj. p. 133. et Ruhnken. ad Tim. p. 261. Ast.

καλῶς—ἐγὼ ποιῶν] Int. *αἴτιός εἰμι*, h. e. *καλῶς ἐγὼ ποιῶ αἴτιος ὤν*; vid. nostra ad Phædr. p. 253. Ast.

§. 19. *οἱ ἐν ὥρᾳ—δάκνουσι*] Vid. Plutarch. de Leg. Poet. p. 44. F. Lucret. iv. 1154. Senec. Epist. 120. §. 8. 9. Ast.

νεθήσεται[d] ὑφ᾽ ὑμῶν,[e] τοῦ δὲ τὸ γρυπὸν βασιλικόν φατε εἶναι, τὸν δὲ δὴ[f] διὰ μέσου τούτων ἐμμετρώτατα ἔχειν, μέλανας δὲ ἀνδρικοὺς ἰδεῖν, λευκοὺς δὲ θεῶν παῖδας εἶναι· μελιχλώρους[g] δὲ καὶ τοὔνομα οἴει τίνος[h] ἄλλου ποίημα εἶναι ἢ ἐραστοῦ ὑποκοριζομένου τε καὶ εὐχερῶς φέροντος τὴν ὠχρότητα, ἐὰν ἐπὶ ὥρᾳ ᾖ; καὶ ἑνὶ λόγῳ πάσας προφάσεις
II. 475. προφασίζεσθέ τε καὶ πάσας φωνὰς ἀφίετε, ὥστε μηδένα ἀποβάλλειν τῶν ἀνθούντων ἐν ὥρᾳ. Εἰ βούλει, ἔφη, ἐπ᾽ ἐμοῦ λέγειν περὶ τῶν ἐρωτικῶν ὅτι οὕτω ποιοῦσι,[i] συγχωρῶ

—[d] ἐπαινεῖται Ξm.—[e] ἡμῶν D.—[f] δὴ om ΞKqr.—[g] μελιχλώρους...εἶναι om DK. μελιχλώρους γρ A, τὸ δὲ μελίχλωρον (omissis δὲ καὶ) q : μελαγχλώρους *ς.—[h] τίνος ἄλλου τοὔνομα οἴει εἶναι q.—[i] ποιοῦσιν οὕτω K.—[k] δαί A.—[l] ποιοῦντα r.—

οὕτω ποιεῖτε πρὸς τοὺς καλοὺς] Non pœnitebit Horatium in Serm. i. 3. 37—48. contulisse: 'Illuc prævertamus; amatorem quod amicæ Turpia decipiunt cæcum vitia, aut etiam ipsa hæc Delectant; veluti Balbinum polypus Hagnæ. Vellem in amicitia sic erraremus, et isti Errori nomen virtus posuisset honestum. At pater ut gnati, sic nos debemus amici Si quod sit vitium, non fastidire. Strabonem Appellat Pætum pater; et Pullum, male parvus Si cui filius est, ut abortivus fuit olim Sisyphus; hunc Varum, distortis cruribus; illum Balbutit Scaurum, pravis fultum male talis.' l. 7. (474. E.) Faehse.

τοῦ δὲ τὸ γρυπὸν] Vid. Plutarch. l. l. et in libro, quo modo Adulat. ab Amic. Internosc. p. 56. D. Cf. Horat. Serm. i. 3. ubi v. Lambin. qui etiam ad Lucret. iv. 1752. conf. Aristænet. Epist. i. 18. ubi διὰ μέσον et ἐμμετρότητα scribitur. De voce γρυπὸν v. nostra ad Phædr. p. 331. ibique laudatis adde Liban. Epist. 114. p. 60. ed. Wolf. τὴν δὲ γρυπὴν ἐκείνην καὶ βασιλικὴν οὐκ ἠμελῆσθαι. Ast.

μελαγχλώρους] For. μελιχρόους, vel potius μελιχρόου, in genitivo sing. Steph. qui sic in Not. 'Scripsi μελιχρόους, sive μελιχρόου· quod itidem per talem ὑποκορισμὸν qualem hic indicat Plato, dictum invenitur: sed multo vicinior est vox μελιχλώρους illi μελαγχλώρους quam hic habemus. Legimus autem μελίχλωρον ita a blandiente dictum τῇ ἐρωμένῃ, apud Theocritum Idyll. x. 26. Βομβύκα χαρίεσσα, Σύραν καλέοντί τυ πάντες, Ἰσχνὰν, ἁλιόκαυστον· ἐγὼ δὲ μόνος μελίχλωρον. Sed genitivus μελαγχλώρου videtur aptior futurus, ut τοὔνομα μελαγχλώρου intelligamus ipsam μελαγχλώρου appellationem.'

μελιχρόους] Sic Stephanus conjecit (apponens: 'vel potius μελιχρόου, in genitivo sing.' male: namque μελιχρόους casum vocis τοὔνομα sequi debet, v. Heind. ad Theætet. §. 19.) quod Plutarch. l. l. confirmat; accedit Lucretius l. l. Et in universum μελίχρους veteribus erat nomen ἐρωτικὸν (cf. Jacobs. ad Anthol. Gr. v. ii. p. iii. p. 54.). Sic Meleag. xxxi. 1. Antholog. t. i. p. 101. p. 146. Dioscorid. v. 3. p. 245. Vulgo legitur μελαγχλώρους, quod Lambinus ad Horat. Serm. i. 3. 38. in μελιχλώρους (quod exhibet Schol. Ruhnk. p. 168.) mutari jussit, ut et Stephanus Aristænetus exhibet μελιχρώτους. Tollii conjecturam ad Lucian. calumn. non temere credend. v. viii. p. 404. Bip. satius est silentio præterire. Ceterum vid. Cicer. de Nat. Deor. i. 29. Ast.

μελαγχλώρους] Quod Stephanus ex versione Ficini, quæ est, *pallidum autem adolescentem etc.* collegerat, μελιχλώρους, id ego in Cod. Paris. a me consulto inveni scriptum. Faehse.

πάσας φωνὰς ἀφίετε] Proverbialis fere locutio. Euthydem. 293. A. πᾶσαν ἤδη φωνὴν ἠφίειν. De Legib. x. 890. D. πᾶσαν τὸ λεγόμενον φωνὴν ἱέντα τῷ παλαιῷ νόμῳ ἐπίκουρον γίγνεσθαι λόγῳ, ὡς εἰσὶ θεοί. Ast.

ἐπ᾽ ἐμοῦ] *Ita, ut me tanquam exemplum respicias.* Vide de hac præpositionis ἐπὶ potestate exempla Fischero collecta ad Weller. t. iii. p. ii. p. 232. Ast.

τοῦ λόγου χάριν. Τί δ',[k] ἦν δ' ἐγώ, τοὺς φιλοίνους οὐ τὰ αὐτὰ ταῦτα ποιοῦντας[l] ὁρᾷς; πάντα οἶνον ἐπὶ πάσης προφάσεως ἀσπαζομένους; Καὶ μάλα. Καὶ μὴν φιλοτίμους[m] γε,[n] ὡς ἐγῷμαι, καθορᾷς, ὅτι ἂν μὴ στρατηγῆσαι δύνωνται τριττυαρχοῦσι, κἂν μὴ ὑπὸ μειζόνων καὶ σεμνοτέρων τιμῶνται,[o] ὑπὸ σμικροτέρων καὶ φαυλοτέρων τιμώμενοι ἀγαπῶσιν, ὡς ὅλως[p] τιμῆς ἐπιθυμηταὶ ὄντες. Κομιδῇ μὲν οὖν. III. i. 264.
Τοῦτο δὴ[q] φάθι ἢ μή· ἆρ' ὃν[r] ἄν τινος[s] ἐπιθυμητικὸν λέγωμεν, παντὸς τοῦ εἴδους τούτου φήσομεν ἐπιθυμεῖν ἢ τοῦ μέν, τοῦ δὲ οὔ; Παντός, ἔφη. Οὐκοῦν καὶ τὸν φιλόσοφον σοφίας φήσομεν[t] ἐπιθυμητὴν εἶναι οὐ τῆς μέν, τῆς δ' οὔ, ἀλλὰ πάσης; Ἀληθῆ. Τὸν ἄρα περὶ τὰ μαθήματα δυσχεραίνοντα, ἄλλως τε καὶ νέον ὄντα καὶ μήπω λόγον ἔχοντα τί τε χρηστὸν καὶ μή, οὐ φήσομεν φιλομαθῆ[u] οὐδὲ φιλόσοφον εἶναι, ὥς περ τὸν περὶ τὰ σιτία[v] δυσχερῆ οὔτε πεινῆν φαμὲν οὔτ' ἐπιθυμεῖν σιτίων οὐδὲ φιλόσιτον ἀλλὰ κακόσιτον εἶναι. Καὶ ὀρθῶς γε φήσομεν. Τὸν δὲ δὴ εὐχερῶς ἐθέλοντα παντὸς μαθήματος γεύεσθαι καὶ ἀσμένως ἐπὶ τὸ μανθάνειν ἰόντα καὶ ἀπλήστως ἔχοντα, τοῦτον δ' ἐν δίκῃ φήσομεν[w] φιλόσοφον. ἦ γάρ; Καὶ ὁ Γλαύκων ἔφη, Πολλοὶ[x] ἄρα καὶ ἄτοποι ἔσονταί σοι τοιοῦτοι· οἵ τε[y] γὰρ φιλοθεάμονες πάντες ἔμοιγε δοκοῦσι τῷ καταμανθάνειν[z] χαίροντες τοιοῦτοι

ῶνται
[m] φιλοτίμως m.—[n] γε om r.—[o] τιμᾶσθαι ΘΠΦDqr, τιμασθαι r.—[p] ὅλος Π.—[q] τοῦτο δὴ] καὶ τοῦτο δεὴ r.—[r] ὂν ΑΘΞΦrmr, ὃν Π, οὗ q: οὖν *ς.—[s] τινα q.—[t] φήσομεν σοφίας r.—[u] φιλομαθεῖν K.—[v] σιτίου Φr.—[w] θήσομεν r.—[x] πολὺ m.—

τριττυαρχοῦσι] Vid. Schol. Ruhnk. p. 167. Cf. Pollux. viii. 8. 109. Ast.

τιμῶνται] Ald. et Bas. 1. τιμᾶσθαι. Bas. 2. τιμῶμαι. Ast.

φαθὶ ἢ μὴ] *Affirma vel nega*; sic Gorg. p. 475. E. ἢ φαθὶ ἢ μή, ἃ ἐρωτῶ. Ast.

οὖν ἂν] For. ὃν ἄν τινος ἐπιθυμ. Steph. qui sic in Not. 'De hac lectione ideo etiam minus dubito, quod antea dixerit itidem, ὅτι ὃν ἂν φῶμεν φιλεῖν τι, δεῖ φανῆναι αὐτὸν, ἐὰν etc. Adde quod a particula οὖν facile absorberi ὃν, ob similem sonum, potuit: et errorum, qui ex ea re originem habuerunt exempla in aliis harum etiam annotationum locis extant.'

ἆρ' ὃν ἄν τινος] Sic Stephanus correxit vulgatum ἆρ' οὖν ἄν τινος, sensu postulante et Ficino addicente, ut qui verterit, *num eum, quem amare quippiam dicimus, omnem illam rem ardere dicemus?* Idem exhibet Cod. Ven. Ast.

περὶ—δυσχεραίνοντα] Alias a Platone cum simplice accusativo construitur, vid. Heind. ad Gorg. §. 12. Ast.

τὸν δὲ δὴ εὐχερῶς] Vid. Plutarch. Vit. Ciceron. t. i. p. 861. E. Ast.

οἵ τε γὰρ] Sic Cod. Reg. et Ven. Ficinus quoque vertit, *nam qui spectaculorum avidi sunt.* Vulgo ὥστε γάρ. Ast.

εἶναι, οἵ τε φιλήκοοι ἀτοπώτατοί τινές εἰσιν ὥς γ'[a] ἐν φιλοσόφοις τιθέναι, οἳ πρὸς μὲν λόγους καὶ τοιαύτην διατριβὴν ἑκόντες οὐκ ἂν ἐθέλοιεν ἐλθεῖν, ὥς περ δὲ ἀπομεμισθωκότες
III. i. 265. τὰ ὦτα ἐπακοῦσαι πάντων χορῶν περιθέουσι[b] τοῖς Διονυσίοις οὔτε τῶν κατὰ πόλεις οὔτε τῶν κατὰ κώμας ἀπολειπόμενοι. τούτους οὖν πάντας καὶ ἄλλους[c] τοιούτων τινῶν[d] μαθητικοὺς[e] καὶ τοὺς τῶν τεχνυδρίων φιλοσόφους φήσομεν;[f] Οὐδαμῶς, εἶπον, ἀλλ' ὁμοίους μὲν[g] φιλοσόφοις. Τοὺς δὲ ἀληθινούς, ἔφη, τίνας λέγεις;[h] Τοὺς τῆς ἀληθείας, ἦν δ' ἐγώ, φιλοθεάμονας. Καὶ τοῦτο[i] μέν γ', ἔφη, ὀρθῶς· ἀλλὰ πῶς αὐτὸ[k] λέγεις; Οὐδαμῶς, ἦν δ' ἐγώ, ῥᾳδίως πρός γε ἄλλον·[l] σὲ δὲ οἶμαι ὁμολογήσειν μοι τὸ τοιόνδε. Τὸ ποῖον; [§. 20.] Ἐπειδή ἐστιν ἐναντίον καλὸν[m] αἰσχρῷ,[n] δύο αὐτὼ
II. 476. εἶναι. Πῶς δ' οὔ; Οὐκοῦν ἐπειδὴ δύο, καὶ ἓν ἑκάτερον; Καὶ[o] τοῦτο. Καὶ περὶ[p] δικαίου καὶ ἀδίκου καὶ ἀγαθοῦ καὶ κακοῦ καὶ πάντων τῶν εἰδῶν πέρι ὁ αὐτὸς λόγος, αὐτὸ μὲν ἓν[q] ἕκαστον εἶναι, τῇ δὲ τῶν πράξεων καὶ σωμάτων καὶ ἀλλήλων κοινωνίᾳ πανταχοῦ[r] φανταζόμενα πολλὰ φαίνεσθαι ἕκαστον. Ὀρθῶς, ἔφη, λέγεις. Ταύτῃ τοίνυν, ἦν δ' ἐγώ, διαιρῶ, χωρὶς μὲν οὓς νῦν δὴ ἔλεγες φιλοθεάμονάς τε

[y] ὥστε ϛ.—[z] μανθάνειν Ξ.—[a] ὅσδ' 𝔪, ὡς οὓς δεῖ γ' v.—[b] ἐπιθέουσι q.—[c] ἄλλων v.—[d] τινὰς Φ𝔯.—[e] μαθητικοὺς Φ et pr A𝔯: μαθηματικοὺς *ϛ.—[f] εἴπωμεν v.—[g] μὲν om DKq.—[h] τίνας λέγεις ἔφη ΘΦ𝔯.—[i] τοὺς 𝔪.—[k] αὐτῷ 𝔪.—[l] ἄλλων 𝔪.—[m] καλῷ v𝔪.—[n] αἰσχρὸν v.—[o] καὶ ante τοῦτο om v.—[p] περὶ δὴ ΘΠΦ𝔯.—[q] ἓν om 𝔪, post

τῶν κατὰ κώμας] Dionysia rustica memorat etiam Æschines adv. Timarch. p. 197. A. observante Wyttenbachio in Bibl. Crit. v. iii. p. iv. p. 59. Ast.

τούτους οὖν πάντας] Laudant h. l. Clemens Alexandr. Strom. i. 19. 315. D. p. 373. t. i. ed. Pott. Cyrill. contr. Julian. v. p. 179. E. et Theodoret. Therapeut. i. p. 470. C. Theodoret. exhibet *ἅπαντας καὶ τοὺς ἄλλους*. Ast.

μαθηματικοὺς] Si mendo caret hæc scriptura, dicendum erit *μαθηματικοὺς* non alios esse quam *μαθητικούς*, quos nimirum et *φιλομαθεῖς* videtur appellare. Sic autem *ἐρωτηματικὸς* antea non aliud quam *ἐρωτητικὸς* significare vidimus. Steph.

μαθητικοὺς] Scripsimus pro *μαθηματικοὺς*, de Stephani conjectura; *μαθηματικὸς* enim semper fere is dicitur, qui altioribus disciplinis (v. Aul. Gell. i. 9.) studet, vid. Fabric. ad Sext. Empir. adv. Mathem. p. 214.); hic vero de artibus ac rebus quibusdam vilioribus sermo est. Mox a Clem. libro *τοὺς* et a Cyrillo *τῶν* abest; deinde Clem. et Theodoret. *θήσομεν* exhibent pro *φήσομεν*. Ast.

ὁμοίους μὲν φιλοσόφοις] A Theodoret. libris abest particula *μὲν*, sed recte habet, etiamsi *δὲ* non sequatur, ut l. viii. 4. p. 549. C. *πρῶτον μὲν—ἔπειτα*. Theæt. 156. C. *ὅσον μέν*. Aristoph. Ran. 378. Av. 1214. 1220. Cf. Heind. ad Charm. p. 97. Theæt. §. 49. et Cratyl. p. 25. Ast.

τοὺς δὲ ἀληθινοὺς] Laudat Clemens Alexandr. Strom. v. 3. p. 553. A. Ast.

καὶ φιλοτέχνους καὶ πρακτικούς, καὶ χωρὶς αὖ περὶ ὧν ὁ
λόγος, οὓς μόνους ἄν τις ὀρθῶς προσείποι[s] φιλοσόφους. Πῶς,
ἔφη, λέγεις; Οἱ μέν που,[t] ἦν δ' ἐγώ, φιλήκοοι καὶ φιλοθεά-
μονες τάς τε καλὰς φωνὰς ἀσπάζονται καὶ χρόας καὶ III. i. 266.
σχήματα καὶ πάντα τὰ ἐκ τῶν τοιούτων δημιουργούμενα,
αὐτοῦ δὲ τοῦ καλοῦ ἀδύνατος αὐτῶν ἡ διάνοια τὴν φύσιν[u]
ἰδεῖν τε καὶ ἀσπάσασθαι. Ἔχει γὰρ οὖν δή, ἔφη, οὕτως.
Οἱ δὲ δὴ ἐπ'[v] αὐτὸ τὸ καλὸν δυνατοὶ ἰέναι τε καὶ ὁρᾶν
καθ' αὑτὸ[w] ἆρα οὐ σπάνιοι ἂν[x] εἶεν; Καὶ μάλα. Ὁ οὖν
καλὰ μὲν πράγματα νομίζων, αὐτὸ δὲ κάλλος μήτε νομί-
ζων μήτε, ἄν τις ἡγῆται ἐπὶ τὴν γνῶσιν αὐτοῦ, δυνάμενος
ἕπεσθαι, ὄναρ ἢ ὕπαρ δοκεῖ σοι ζῆν; σκόπει δέ. τὸ ὀνειρώτ-
τειν ἆρα οὐ τόδε ἐστίν, ἐάν τ' ἐν ὕπνῳ τις[y] ἐάν τε ἐγρηγο-
ρὼς τὸ ὅμοιόν τῳ[z] μὴ ὅμοιον[a] ἀλλ' αὐτὸ ἡγῆται εἶναι ᾧ[b]
ἔοικεν; Ἐγὼ γοῦν ἄν, ἦ δ' ὅς, φαίην ὀνειρώττειν τὸν[c] τοιοῦ-
τον. Τί δέ;[d] ὁ τἀναντία τούτων ἡγούμενός τέ τι αὐτὸ
καλὸν καὶ δυνάμενος καθορᾶν καὶ αὐτὸ καὶ τὰ ἐκείνου
μετέχοντα, καὶ[e] οὔτε τὰ μετέχοντα αὐτὸ οὔτε αὐτὸ τὰ
μετέχοντα ἡγούμενος, ὕπαρ ἢ ὄναρ αὖ καὶ οὗτος δοκεῖ σοι
ζῆν; Καὶ μάλα,[f] ἔφη, ὕπαρ. Οὐκοῦν τούτου μὲν τὴν
διάνοιαν ὡς γιγνώσκοντος[g] γνώμην[h] ἂν ὀρθῶς φαῖμεν εἶναι,
τοῦ δὲ δόξαν ὡς δοξάζοντος; Πάνυ μὲν οὖν. Τί οὖν, ἐὰν
ἡμῖν χαλεπαίνῃ[i] οὗτος, ὅν φαμεν δοξάζειν ἀλλ' οὐ γιγνώσ- III. i. 267.
κειν, καὶ ἀμφισβητῇ ὡς οὐκ[k] ἀληθῆ λέγομεν, ἕξομέν τι
παραμυθεῖσθαι αὐτὸν καὶ πείθειν ἠρέμα ἐπικρυπτόμενοι ὅτι

ἥ
ἕκαστον ponit r.—[r] πανταχοῦ Ξ, πολλαχοῦ r.—[s] προσείπῃ ΞΦr.—[t] ποι.—[u] τὸν νοῦν ΘΦDKqr et corr ΞΠ.—[v] ὑπ' q.—[w] ἑαυτὸ vr.—[x] ἂν om ΦDKqr.—[y] ἐστὶν DK.—[z] τὸ pr q, om K.—[a] μὴ τὸ ὅμοιον K.—[b] ὃ m.—[c] τὸ K.—[d] τε om Φr.—[e] καὶ... ἡγούμενος om Φ: καὶ om m.—[f] μάλ' vr.—[g] γιγνώσκοντες r.—[h] γνῶσιν r.—[i] χαλεπαίνῃ ΑΘΠΦDKqr, χαλεπαίνειν r: χαλεπήνῃ s.—[k] οὐ καλῶς Φr.—[l] ὑγιαίνοι Φ.

§. 20. τὴν φύσιν] Cod. Reg. et Bas. 2. τὸν νοῦν. Ast.

ἐπὶ τὴν γνῶσιν αὐτοῦ] Possunt hæc verba vel præcedentibus vel sequentibus jungi, eodem manente sensu. Quod autem hic ἡγεῖσθαι, alibi ἄγειν dicit, de eadem re sive de eodem hominum genere loquens: circa finem hujus libri, αὐτὸ δὲ τὸ καλὸν μὴ ὁρῶντας, μηδ' ἄλλῳ ἐπ' αὐτὸ ἄγοντι δυναμένους ἕπεσθαι. Steph.

ὄναρ ἢ ὕπαρ] *Somnians an vigilans*, h. e. specie an vere, vid. nostra ad Phædr. p. 392. Ast.

ἀληθῆ] Bas. 2. ἄλλως χαλεπήνῃ. Ast.

ἐπικρυπτόμενοι] Consilium nostrum ipsi persuadendi eumque ad sanam mentem reducendi celantes s. dissimulantes, ut ne correctioni repugnet. Ast.

οὐχ ὑγιαίνει;[l] Δεῖ γέ τοι δή, ἔφη. Ἴθι δή,[m] σκόπει[n] τί
ἐροῦμεν πρὸς αὐτόν. ἢ βούλει ὧδε πυνθανώμεθα[o] παρ' αὐ-
τοῦ, λέγοντες ὡς εἴ τι οἶδεν οὐδεὶς αὐτῷ φθόνος, ἀλλ'
ἄσμενοι ἂν ἴδοιμεν εἰδότα τι· ἀλλ' ἡμῖν εἰπὲ τόδε. ὁ γιγ-
νώσκων γιγνώσκει[p] τὶ ἢ οὐδέν; σὺ οὖν μοι ὑπὲρ ἐκείνου
ἀποκρίνου. Ἀποκρινοῦμαι, ἔφη, ὅτι[q] γιγνώσκει τί. Πό-
II. 477. τερον ὂν ἢ οὐκ ὄν;[r] Ὄν· πῶς γὰρ ἂν μὴ ὄν γέ τι γνωσθείη;
Ἱκανῶς οὖν τοῦτο ἔχομεν, κἂν εἰ πλεοναχῇ[s] σκοποῖμεν,[t] ὅτι
τὸ μὲν παντελῶς ὂν παντελῶς γνωστόν, μὴ ὂν δὲ μηδαμῇ
πάντῃ ἄγνωστον; Ἱκανώτατα. Εἶεν· εἰ δὲ δή τι οὕτως
ἔχει ὡς εἶναί τε καὶ μὴ εἶναι, οὐ μεταξὺ ἂν κέοιτο τοῦ
εἰλικρινῶς[v] ὄντος καὶ τοῦ αὖ μηδαμῇ ὄντος; Μεταξύ. Οὐκ-
οῦν ἐπὶ[w] μὲν τῷ ὄντι γνῶσις ἦν, ἀγνωσία δ' ἐξ ἀνάγκης ἐπὶ
τῷ[x] μὴ ὄντι, ἐπὶ τῷ μεταξὺ δὲ[y] τούτῳ[z] μεταξύ τι[a] καὶ[b]
ζητητέον ἀγνοίας τε καὶ ἐπιστήμης, εἴ τι [c] τυγχάνει[d] ὂν
τοιοῦτον;[e] Πάνυ μὲν οὖν. Ἆρ' οὖν λέγομέν τι δόξαν εἶναι;
III. i. 268. Πῶς γὰρ οὔ; Πότερον ἄλλην δύναμιν ἐπιστήμης ἢ τὴν αὐ-
τήν; Ἄλλην. Ἐπ' ἄλλῳ ἄρα τέτακται δόξα καὶ ἐπ'
ἄλλῳ ἐπιστήμη, κατὰ τὴν αὐτὴν δύναμιν[f] ἑκατέρα τὴν αὐ-
τῆς.[g] Οὕτως. Οὐκοῦν ἐπιστήμη[h] μὲν ἐπὶ τῷ ὄντι πέφυκε

—[m] alterum δὴ om K.—[n] σκοπῶμεν ΘΦqr, σκοποῦμεν ΠDK.—[o] πυνθανόμεθα Ξ.—
[p] ὁ γιγνώσκων γιγνώσκει] οὐ γιγνώσκειν ΘΦr, οὐ γιγνώσκων ΠD, οὐ γιγνώσκει (ει) Kq. —[q] ὅτι οὐ Φr.—[r] ὂν om ΦKr.—[s] πλειοναχῇ Ξm.—[t] σκοπῶμεν Φ, σκοποῦμεν Ξ.— [v] εἰλικρινοῦς K.—[w] εἰ ἐπὶ q.—[x] τῷ ante μὴ om ΑΘΠΦvr.—[y] ἄρα Φ, post ἐπὶ ponit r, om ΑΠDqmr et pr Θ.—[z] τούτωι ΑΘΞΠKqmr: τούτων s.—[a] τι om r.—[b] καὶ ante ζητητέον om ΘΦr.—[c] τι post ὂν ponit r.—[d] τυγχάνοι ΦK.—[e] τοιοῦτο ΘΦr. —[f] κατὰ τὴν αὐτὴν δύναμιν om ΘΞΠΦDKvr: quæ sequebantur, ἢ κατὰ τὴν αὐτὴν δύναμιν, omisi cum ΑΞq.—[g] ἑκατέρα τὴν αὐτῆς om Ξ: ἑκατέρα τῆς αὐτῆς ΘΦr.—

κἂν εἰ – σκοποῖμεν] Vitiosa est hæc scriptura. Ni fallor, excidit ἤ, e quo εἰ enatum, et genuina scriptura erat: *ἱκανῶς οὖν τοῦτο ἔχομεν, ἢ καὶ πλεοναχῇ σκοπῶμεν, ὅτι – ἄγνωστον*. Sensus perspicuus est. Ἱκανῶς ἔχειν est *satis tenere* s. scire; eodem sensu Phædon. p. 298. Cf. Boissonad. ad Philostrat. Heroic. p. 350. Cod. Reg. pro *σκοποῖμεν* exhibet *σκοποῦμεν*, quod ut locum habere posset, legi deberet *ἕξομεν, εἰ*; nam *κἂν εἰ*, *etiamsi*, non quadrat in orationem. Ast.

τούτων] Ald. Bas. 1. 2. *τούτῳ*. Ast.

δύναμιν ἑκατέρα] Sic legendum esse sensus docet. Vulgo scribitur *κατὰ τὴν αὐτὴν δύναμιν ἢ κατὰ τὴν αὐτὴν δύναμιν ἑκατέρα τὴν αὐτῆς*. Cod. Reg. exhibet: *ἐπιστήμη, ἢ κατὰ τὴν αὐτὴν δύναμιν ἑκατέρα τὴν αὐτῆς*. Bas. 2. vero: *ἐπιστήμη κατὰ τὴν αὐτὴν δύναμιν τὴν αὐτῆς*. Ast.

ἐπιστήμη] Vulgo: *ἐπιστήμης μὲν, ἐπὶ τῷ ὄντι*. Ceterum *ἐπὶ τῷ ὄντι πέφυκε γνῶναι* est i. q. *ἐπὶ τῷ ὄντι τέτακταί τε καὶ πέφυκε γνῶναι, ὡς ἔστι τὸ ὄν*. Sic c. 21. *ἐπιστήμη μέν γέ που ἐπὶ τῷ ὄντι (πέφυκε) τὸ ὂν γνῶναι, ὡς ἔχει*. Ast.

γνῶναι ὡς ἔστι τὸ ὄν; μᾶλλον δὲ ὧδέ μοι δοκεῖ πρότερον[i] ἀναγκαῖον εἶναι διελέσθαι. Πῶς; [§. 21.] Φήσομεν δυνάμεις εἶναι γένος τι[k] τῶν ὄντων, αἷς δὴ καὶ ἡμεῖς δυνάμεθα[l] ἃ δυνάμεθα καὶ ἄλλο πᾶν ὅ τί περ ἂν δύνηται, οἷον λέγω ὄψιν καὶ ἀκοὴν τῶν δυνάμεων εἶναι, εἰ ἄρα μανθάνεις ὃ βούλομαι λέγειν τὸ εἶδος. Ἀλλὰ μανθάνω, ἔφη. Ἄκουσον δὴ ὅ μοι φαίνεται περὶ αὐτῶν. δυνάμεως γὰρ ἐγὼ οὔτε τινὰ χρόαν ὁρῶ οὔτε σχῆμα οὔτε τι τῶν τοιούτων οἷον[m] καὶ ἄλλων πολλῶν, πρὸς ἃ ἀποβλέπων[n] ἔνια διορίζομαι παρ' ἐμαυτῷ τὰ μὲν ἄλλα εἶναι, τὰ δὲ ἄλλα. δυνάμεως δ' εἰς ἐκεῖνο μόνον βλέπω ἐφ' ᾧ τε ἔστι καὶ ὃ ἀπεργάζεται, καὶ ταύτῃ ἑκάστην αὐτῶν δύναμιν ἐκάλεσα, καὶ τὴν μὲν ἐπὶ τῷ αὐτῷ[o] τεταγμένην[p] καὶ τὸ αὐτὸ ἀπεργαζομένην[q] τὴν αὐτὴν καλῶ, τὴν δὲ[r] ἐπὶ ἑτέρῳ καὶ ἕτερον ἀπεργαζομένην ἄλλην. τί δὲ σύ; πῶς ποιεῖς; Οὕτως, ἔφη. III. i. 269.
Δεῦρο δὴ πάλιν, ἦν δ' ἐγώ, ὦ ἄριστε. ἐπιστήμην πότερον δύναμίν τινα φῂς εἶναι αὐτήν, ἢ εἰς τί γένος τίθης; Εἰς[s] τοῦτο,[t] ἔφη, πασῶν γε δυνάμεων ἐρρωμενεστάτην. Τί δέ;[u] δόξαν εἰς δύναμιν ἢ εἰς ἄλλο εἶδος οἴσομεν;[v] Οὐδαμῶς, ἔφη· ᾧ γὰρ δοξάζειν δυνάμεθα, οὐκ ἄλλο τι ἢ δόξα ἐστίν. Ἀλλὰ μὲν δὴ ὀλίγον[w] γε[x] πρότερον ὡμολόγεις μὴ τὸ αὐτὸ εἶναι ἐπιστήμην τε καὶ δόξαν. Πῶς γὰρ ἄν, ἔφη, τό γε ἀναμάρτητον τῷ[y] μὴ ἀναμαρτήτῳ ταὐτόν ποτέ[z] τις II. 478.
νοῦν ἔχων τιθείη; Καλῶς, ἦν δ' ἐγώ. καὶ δῆλον ὅτι ἕτερον ἐπιστήμης δόξα[a] ὁμολογεῖται ἡμῖν. Ἕτερον. Ἐφ' ἑτέρῳ ἄρα[b] ἕτερόν τι δυναμένη ἑκατέρα αὐτῶν πέφυκεν. Ἀνάγ-

[h] ἐπιστήμης s.—[i] πρῶτον K.—[k] δὴ m.—[l] ἃ δυνάμεθα om ΘΠΦDKqr.—[m] οἵων ΘΞΠDKrm.—[n] βλέπων Ξm.—[o] τῷ αὐτῷ ΑΘΠΦmr : τὸ αὐτὸ *s.—[p] τεταμένην Φr.—[q] καὶ τὸ αὐτὸ ἀπεργαζομένην om Φr.—[r] δ' mr.—[s] εἰ r.—[t] τοῦτ' m.—[u] δαί Α.—[v] θήσομεν r.—[w] ὀλίγῳ q.—[x] τε Φr.—[y] τῷ...ταυτόν om r.—[z] ποτέ om ΘΦr.—[a] ἐπιστήμης δόξα ΑΘΠΦDKqrmr : δόξα ἐπιστήμης *s.—[b] ἄρα om ΘΦr.—[c] γάρ K.

§. 21. ὃ—τὸ εἶδος] Relativum cum nomine, addito articulo, ut Politic. p. 269. B. ὃ δ' ἐστὶ πᾶσι τούτοις αἴτιον τὸ πάθος οὐδεὶς εἴρηκε. Soph. Antig. 404. Vid. Valcken. ad Herodot. p. 574. Herm. ad Viger. p. 711. Ast.

τινὰ] In Ald. exempl. est τινὰς, quod nullum habere hic locum potest: sed nihilo magis convenit huic loco τινὸς, quod tamen in Basil. editione pro illo τινὰς substitutum fuit. Cæterum pro nomen αὐτὴν negotium lectori facessere non debet, quum et alibi talis ejus pleonasmus inveniatur. In iis vero quæ proxime sequuntur deesse videtur vox ἄλλο: ut ita legatur, ἢ εἰς τί γένος ἄλλο τίθης. Stehn.

ἐρρωμενεστάτην] Int. αὐτὴν οὖσαν: ut quæ omnium facultatum validissima sit. Ast.

κη. Ἐπιστήμη μέν γέ[c] που ἐπὶ τῷ ὄντι, τὸ ὂν γνῶναι ὡς ἔχει; Ναί. Δόξα[d] δέ, φαμέν, δοξάζειν; Ναί. Ἦ ταὐτὸν ὅ περ[e] ἐπιστήμη γιγνώσκει; καὶ ἔσται γνωστόν τε καὶ δοξαστὸν τὸ αὐτό; ἢ[f] ἀδύνατον; Ἀδύνατον,[g] ἔφη, ἐκ τῶν ὡμολογημένων, εἴ περ ἐπ' ἄλλῳ ἄλλη δύναμις πέφυκε, δυνάμεις δὲ ἀμφότεραί ἐστον,[h] δόξα τε καὶ ἐπιστήμη, ἄλλη δὲ ἑκατέρα, ὥς ἔφαμεν.[i] ἐκ τούτων δὴ οὐκ ἐγχωρεῖ γνωστὸν καὶ δοξαστὸν ταὐτὸν[k] εἶναι. Οὐκοῦν εἰ τὸ ὂν γνωστόν, ἄλλο τι ἂν[l] δοξαστὸν ἢ τὸ ὂν εἴη; Ἄλλο. Ἆρ'
III. i. 270. οὖν[m] τὸ μὴ ὂν δοξάζει; ἢ ἀδύνατον καὶ δοξάσαι τό γε[n] μὴ ὄν; ἐννόει δέ. οὐχ ὁ δοξάζων ἐπί τι φέρει τὴν δόξαν; ἢ οἷός[o] τε αὖ δοξάζειν μέν, δοξάζειν δὲ μηδέν; Ἀδύνατον. Ἀλλ' ἕν γέ τι δοξάζει ὁ δοξάζων;[p] Ναί. Ἀλλὰ μὴν μὴ[q] ὄν γε οὐχ ἕν τι, ἀλλὰ μηδὲν ὀρθότατ' ἂν προσαγορεύοιτο. Πάνυ γε. Μὴ ὄντι μὴν ἄγνοιαν ἐξ ἀνάγκης ἀπέδομεν, ὄντι δὲ γνῶσιν. Ὀρθῶς, ἔφη. Οὐκ ἄρα ὂν οὐδὲ μὴ ὂν δοξάζει. Οὐ γάρ. Οὔτε ἄρα ἄγνοια οὔτε γνῶσις δόξα ἂν εἴη. Οὐκ ἔοικεν. Ἆρ' οὖν ἐκτὸς τούτων[r] ἐστὶν ὑπερβαίνουσα ἢ γνῶσιν σαφηνείᾳ[s] ἢ ἄγνοιαν ἀσαφείᾳ; Οὐδέτερα.[t] Ἀλλ' ἆρα, ἦν δ' ἐγώ, γνώσεως μέν σοι φαίνεται δόξα σκοτωδέστερον, ἀγνοίας δὲ φανότερον;[u] Καὶ πολύ γε,[v] ἔφη. Ἐντὸς[w] δ' ἀμφοῖν[x] κεῖται;

—[d] δόξα ΑΘΠΦυmr et pr D: δόξαν *s.—[e] ὥσπερ pr D.—[f] καὶ Θ.—[g] Ἀδύνατον om v.—[h] ἔστι Φr.—[i] φαμέν Am.—[k] τὸ αὐτὸ ΘΦ.—[l] ἂν om Θr, ante εἴη ponit Φ.—[m] ἆρ' οὐκ οὖν m.—[n] γε om ΘΠΦDKvr.—[o] οἷόν ΠDKqvm.—[p] ὁ δοξάζων δοξάζει Ξ.—[q] μὴ...μηδὲν om r.—[r] τούτων ἐκτὸς K.—[s] σαφηνείᾳ...ἀσαφείᾳ ΑΘΞΠΦqvr: σαφήνεια...ἀσάφεια *s.—[t] οὐδέτερα ΑΞΦvmr: οὐδετέρα *s.—[u] φανότερον Am, φανώτερον q: φανερώτερον *s.—[v] γ' v.—[w] ἐντὸς ΑΞvm, ἑνὸς ΠΦDKr, ἐν corr Θ, ἐν

ἐστὸν] Dualis verbi cum pronominibus pluralibus, vid. Fischer. ad Weller. t. iii. p. i. p. 305. Ast.

ἢ οἷόν τε αὖ] Sic Cod. Reg. et Ficinus, qui vertit, *an possibile est, opinari quidem, opinari autem nihil?* Ald. Bas. 1. 2. et Steph. exhibent οἷός τε αὖ. Ast.

ἕν γέ τι] Ut vi. 2. p. 485. D. Phædon. p. 85. C. Sic jam Homerus Odyss. xv. 83. τι ἕν γε. Vid. nostra ad Phædr. p. 270. Ast.

σαφηνείᾳ—ἀσαφείᾳ] Sic pro σαφήνεια et ἀσάφεια scripsimus. Etiam Ficinus vertit: *num extra hæc est supergrediens vel cognitionum perspicuitate vel obscuritate ignorantiam?* Eundem secutus est Cornar. Deinde pro οὐδετέρα ex Ald. Bas. 1. et 2. revocavimus οὐδέτερα, ut Ficinus videtur legisse vertens, *neutrum istorum.* Ast.

ἄρα] Potius fortasse scribendum ἆρα, quo significetur *itane:* ut post δόξα interrogationis nota ponatur. Steph.

εἰ δ' ἀμφοῖν] Scribendum videtur, ἢ δ' ἀμφ. vel τί δέ; ἀμφοῖν etc. Steph.

εἰ γ' ἀμφοῖν μεταξὺ κεῖται] Vulgo legitur: Καὶ πολύ γε, ἔφη. Εἰ δ' ἀμφοῖν μεταξὺ κεῖται; Ναί. Μεταξὺ ἄρα cet. Censor in Act. Literar. Jenens. 1808. No. 70. p. 556. ἐν μέσῳ δ' ἀμφοῖν κεῖται,

Ναί. Μεταξὺ ἄρα ἂν εἴη τούτοιν δόξα.[y] Κομιδῇ μὲν
οὖν. Οὐκοῦν ἔφαμεν ἐν τοῖς πρόσθεν, εἴ τι φανείη οἷον
ἅμα ὄν τε καὶ μὴ ὄν, τὸ τοιοῦτον[z] μεταξὺ κεῖσθαι τοῦ εἰ-
λικρινῶς ὄντος τε καὶ τοῦ πάντως μὴ ὄντος, καὶ οὔτε ἐπι-
στήμην οὔτε[a] ἄγνοιαν ἐπ' αὐτῷ ἔσεσθαι, ἀλλὰ τὸ[b] μεταξὺ
αὖ φανὲν[c] ἀγνοίας καὶ ἐπιστήμης; Ὀρθῶς. Νῦν δέ γε
πέφανται μεταξὺ τούτοιν ὃ[d] δὴ καλοῦμεν δόξαν. Πέφαν-
ται.[e] [§. 22.] Ἐκεῖνο δὴ[f] λείποιτ' ἂν ἡμῖν εὑρεῖν, ὡς III. i. 271.
ἔοικε, τὸ ἀμφοτέρων μετέχον, τοῦ εἶναί τε καὶ μὴ εἶναι,
καὶ οὐδέτερον εἰλικρινὲς ὀρθῶς ἂν προσαγορευόμενον, ἵνα[g]
ἐὰν φανῇ δοξαστὸν αὐτὸ εἶναι, ἐν δίκῃ προσαγορεύωμεν,
τοῖς μὲν ἄκροις τὰ ἄκρα, τοῖς δὲ μεταξὺ τὰ μεταξὺ ἀπο-
διδόντες. ἢ οὐχ οὕτως; Οὕτως. Τούτων δὴ ὑποκειμένων
λεγέτω μοι, φήσω, καὶ ἀποκρινέσθω ὁ χρηστός, ὃς αὐτὸ II. 479.
μὲν καλὸν καὶ ἰδέαν τινὰ αὐτοῦ[h] κάλλους μηδεμίαν ἡγεῖ-
ται[i] ἀεὶ κατὰ[k] ταὐτὰ ὡσαύτως[l] ἔχουσαν,[m] πολλὰ δὲ τὰ
καλὰ νομίζει [ἐκεῖνος ὁ φιλοθεάμων, καὶ[n]] οὐδαμῇ[o] ἀνεχό-
μενος ἄν[p] τις ἓν τὸ καλὸν φῇ εἶναι καὶ δίκαιον, καὶ τἆλλα
οὕτω. τούτων γὰρ δή, ὦ ἄριστε, φήσομεν, τῶν πολλῶν κα-
λῶν μῶν τι ἔστιν ὃ οὐκ αἰσχρὸν[q] φανήσεται; καὶ τῶν δι-

μέσῳ q: εἰ ς.—[x] ἀμφοῖν μεταξὺ κεῖται ς.—[y] τούτοιν ἡ δόξα ς.—[z] τοιοῦτο ΘΦr.—[a] οὔτ' r.—[b] τῷ Φr.—[c] φαμὲν K.—[d] ἣν q.—[e] πέφανται...τὸ om ΘΦr.—[f] δὲ Ξ.—[g] ἵν' r.—[h] τοῦ Φ, αὖ τοῦ DKr.—[i] ἡγῆται Ξ, ἥγηται DK.—[k] ἀεὶ μὲν κατὰ ΑΞ m.—[l] ὦ σώκρατες r.—[m] ἔχουσαν ὦ σώκρατες Φ.—[n] ἐκεῖνος ὁ φιλοθεάμων καὶ om Ξ.—[o] οὐδαμοῦ Ξm.—[p] ἐάν K.—[q] οὐ καὶ αἰσχρὸν q.—[r] καὶ...ἄδικον om m.—[s] δαὶ

quod a scripturæ vulgatæ vestigiis nimis recedit. Lenissima particulæ δ' in γ' mutatione et facili orationis dispositione locum nobis videmur sanasse. Illud Ναὶ vel ab iis, qui verba præcedentia pro interrogatione Socratis habuissent, interpositum vel e postrema verbi κεῖται syllaba enatum est. Ast.

φανὲν] Bas. 2. φαμέν. Ast.

§. 22. ὃς αὐτὸ μὲν] In Ald. editione ita scriptum est ut hic, ὃς αὐτὸ μὲν etc. in quodam autem veteri libro, καὶ αὐτὸ μὲν etc. at in illis Basil. exemplaribus Valderi male αὐτὸς scriptum est pro αὐτὸ, etiam neutra vocula (id est, nec ὃς nec καὶ) præfixa. Videtur autem vocula ὃς a syllaba simili, qua clauditur nomen χρηστὸς, fuisse ibi absorpta, ut alibi contigisse paulo ante docui. Steph.

αὐτὸ μὲν καλὸν] αὐτὸ, h. l. est *per se*, ut in αὐτὸ δικαιοσύνην, quocirca articulus recte abest. Ast.

ἐκεῖνος ὁ φιλοθεάμων καὶ] Verba hæc glossematis manifesta sunt, quo indicare voluit librarius, verbum ὁ χρηστὸς respicere illum φιλοθεάμονα c. 19. Et non solum otiosa sunt hæc verba, sed turbant quoque orationis perspicuitatem; verbis τἄλλα οὕτω finitur protasis, et quæ sequuntur, τούτων γὰρ δὴ—φήσομεν, redordiuntur orationem; namque φήσομεν repetitio est prægressi φήσω. Probare vero vult Socrates τὰ πολλὰ esse τὰ μεταξὺ τοῦ ὄντος καὶ τοῦ μὴ ὄντος; varias enim esse rerum in multitudine spectatarum species, ita ut nunc pulchræ nunc turpes, nunc magnæ nunc parvæ videantur etc. Ast.

καίων, ὃ οὐκ ἄδικον; καὶ[r] τῶν ὁσίων, ὃ οὐκ ἀνόσιον; Οὔκ, ἀλλ' ἀνάγκη, ἔφη, καὶ καλά πως αὐτὰ καὶ αἰσχρὰ φανῆναι, καὶ ὅσα ἄλλα ἐρωτᾷς. Τί δέ;[s] τὰ πολλὰ διπλάσια ἧττόν τι ἡμίσεα ἢ διπλάσια φαίνεται; Οὐδέν. Καὶ μεγάλα δὴ καὶ σμικρὰ καὶ κοῦφα καὶ βαρέα μή τι μᾶλλον ἃ ἂν φήσωμεν, ταῦτα προσρηθήσεται ἢ τἀναντία; Οὔκ, ἀλλ' ἀεί, ἔφη, ἕκαστον ἀμφοτέρων ἕξεται.[t] Πότε-
III. i. 272. ρον οὖν ἔστι μᾶλλον ἢ οὐκ ἔστιν ἕκαστον τῶν πολλῶν τοῦτο ὃ ἄν τις φῇ αὐτὸ εἶναι; Τοῖς ἐν ταῖς ἑστιάσεσιν, ἔφη, ἐπαμφοτερίζουσιν ἔοικε,[u] καὶ τῷ τῶν παίδων αἰνίγματι τῷ[v] περὶ τοῦ εὐνούχου τῆς βολῆς πέρι τῆς νυκτερίδος, ὡς[w] καὶ ἐφ'

ξ
Am.—[t] ἔχεται v.—[u] ὡς ἔοικε Φr.—[v] ἔοικε ΘΦr.—[w] ᾧ vm.—[x] κέπφου Φr, καὶ

ἐπαμφοτερίζουσι] Ambiguas et ancipites intelligit interrogationes, quæ in utramque partem accipi possunt. De qua verbi ἐπαμφοτερίζειν significatione vid. Ruhnk. ad Tim. p. 108. et de toto hoc loco Budæi Comment. Ling. Græc. p. 603. Ast.

αἰνίγματι] Id copiosius explicat Schol. Ruhnk. p. 167. Cf. Eustath. ad Iliad. Θ. p. 599. 26. et Athen. x. p. 452. C. Ast.

βολῆς] Male in præced. edit. βουλῆς pro βολῆς. sed et περὶ videtur expungendum, vel ante τῆς ponendum. Steph. qui sic in Not. 'Minime dubium esse potest quin βολῆς scribendum fuerit pro βουλῆς, quod præced. editiones habent. Verum et περὶ expungendum, aut post τῆς ponendum videri, in iis quæ margini adscripsi. (ibi enim verba illa *ante* τῆς, pro his *post* τῆς, male irrepserunt) te admonitum volui. Sed multo sane fuerit satius omnino expungere. Libet autem lector, ut tibi gratificer, magna te quærendi hujus ænigmatis molestia liberare, et tantum ut attentas aures præbeas, a te petere. Hoc enim illud est, Αἶνός τις ἐστὶν ὡς ἀνήρ τε κοὐκ ἀνὴρ ὄρνιθά τε κοὐκ ὄρνιθα ἰδών τε κοὐκ ἰδὼν ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην τε κοὐ καθημένην, λίθῳ τε κοὐ λίθῳ, βάλοι τε κοὐ βάλοι. Atque ut tibi plene gratificer, non contentus id ænigma tibi proposuisse de quo intelligenda sunt illa nostri Platonis verba, etiam solvam. Primum igitur, 'Ανὴρ κοὐκ ἀνήρ, id est, *vir et non vir, est eunuchus*: "Ορνις κοὐκ ὄρνις, id est, *avis et non avis, est vespertilio*: Ξύλον, κοὐ ξύλον, *lignum et non lignum, est ferula*: Λίθος, κοὐ λίθος, *lapis et non lapis, est pumex*. At vero ἰδών τε κοὐκ ἰδὼν exponitur θεασάμενος καὶ οὐ παριδών. Deinde καθημένην intelligendum existimatur, κυρίως μὲν οὐ καθημένην, ἄλλως δὲ καθημένην: (quoniam aves sedere dicuntur quum non volant). In illis denique, Βάλοι, κοὐ βάλοι priore quidem loco βάλοι esse dicitur, ἀφήσοι, πέμψοι, ῥίψοι: at in posteriore, κοὐ βάλοι, esse οὐκ εὐστοχήσοι, οὐκ ἐπιτύχοι. sive βάλοι μὲν κατὰ μόνην ῥίψιν καὶ ἄφεσιν κισσήρεως, οὐ μὴν καὶ βάλοι ἐπιτυχῶς καὶ εὐστόχως. Cæterum apud Athenæum afferentem hunc Platonis locum (quem memoria lapsus dicit esse ex libro quinto de Legibus) scriptum est ᾧ καὶ ἀφ' οὗ, non ὡς καὶ ἐφ' οὗ. Ego vero ex parte mutandam esse lectionem nostram puto, ex parte retinendam. nam pro ὡς legere malim ᾧ (ut intelligamus λίθῳ τε καὶ οὐ λίθῳ) at ἐφ' οὗ retinere: et intelligere, ἐπὶ ξύλου τε καὶ οὐ ξύλου.'

τῆς βολῆς τῆς νυκτερίδος] Scripsi pro βολῆς περὶ τ. νυκτ. Genitivus duplex est, alter objectivus: τῆς νυκτερίδος, alter subjectivus: τοῦ εὐνούχου (vid. ad i. 3. et Matthiæ Gr. Gr. p. 431.). Βολῆς pro βουλῆς jam Cornar. legendum esse vidit; sic Ficinus quoque: *de eunucho et vespertilionis percussione*. Deinde ex Athenæo reposui ᾧ pro ὡς; intelligendum est enim λίθῳ καὶ οὐ λίθῳ, sc. *pumice*; et ἐφ' οὗ est ξύλου καὶ οὐ ξύλου, sc. *ferulæ*. In sequentibus scripsi ἐπαμφοτερίζει pro ἐπαμφοτερίζειν. Ficinus: *hæc enim ambigua sunt*. Ast.

οὔ[x] αὐτὸν αὐτὴν αἰνίττονται βαλεῖν·[y] καὶ γὰρ ταῦτα[z] ἐπαμ-
φοτερίζειν, καὶ οὔτ' εἶναι οὔτε μὴ εἶναι οὐδὲν αὐτῶν[a] δυνα-
τὸν παγίως νοῆσαι, οὔτ'[b] ἀμφότερα οὔτε οὐδέτερον.[c] Ἔχεις
οὖν αὐτοῖς, ἦν δ' ἐγώ, ὅ τι χρήσει, ἢ ὅποι[d] θήσεις καλλίω
θέσιν τῆς μεταξὺ οὐσίας τε καὶ τοῦ μὴ εἶναι; οὔτε γάρ
που σκοτωδέστερα μὴ[e] ὄντος πρὸς[f] τὸ μᾶλλον μὴ εἶναι[g]
φανήσεται, οὔτε φανότερα ὄντος[h] πρὸς τὸ μᾶλλον εἶναι.
Ἀληθέστατα, ἔφη. Εὑρήκαμεν ἄρα, ὡς ἔοικεν, ὅτι τὰ τῶν
πολλῶν πολλὰ νόμιμα καλοῦ τε πέρι καὶ τῶν ἄλλων με-
ταξύ που κυλινδεῖται τοῦ τε μὴ ὄντος καὶ τοῦ ὄντος[i] εἰλι-
κρινῶς. Εὑρήκαμεν. Προωμολογήσαμεν δέ γε, εἴ τι
τοιοῦτον[k] φανείη, δοξαστὸν αὐτὸ ἀλλ' οὐ γνωστὸν δεῖν λέ-
γεσθαι, τῇ[l] μεταξὺ δυνάμει τὸ μεταξὺ πλανητὸν ἁλισκό-
μενον. Ὡμολογήκαμεν.[m] Τοὺς ἄρα πολλὰ καλὰ θεω-
μένους, αὐτὸ δὲ[n] τὸ καλὸν μὴ ὁρῶντας μηδ' ἄλλῳ ἐπ' αὐ-
τὸ ἄγοντι δυναμένους ἕπεσθαι, καὶ πολλὰ δίκαια, αὐτὸ δὲ
τὸ[o] δίκαιον μή, καὶ πάντα οὕτω, δοξάζειν φήσομεν ἅπαν- III. i. 273.
τα, γιγνώσκειν δὲ[p] ὧν δοξάζουσιν οὐδέν. Ἀνάγκη, ἔφη.
Τί δ' αὖ τοὺς[q] αὐτὰ ἕκαστα θεωμένους καὶ ἀεὶ κατὰ
ταὐτὰ[r] ὡσαύτως ὄντα; ἆρ' οὐ[s] γιγνώσκειν ἀλλ' οὐ[t] δοξά-
ζειν; Ἀνάγκη καὶ ταῦτα. Οὐκοῦν καὶ ἀσπάζεσθαί τε
καὶ φιλεῖν τούτους μὲν ταῦτα φήσομεν ἐφ' οἷς γνῶσίς ἐσ-
τιν, ἐκείνους δὲ[u] ἐφ' οἷς δόξα; ἢ οὐ μνημονεύομεν ὅτι φω- II. 480.
νάς τε καὶ χρόας καλὰς[v] καὶ τὰ τοιαῦτα[w] ἔφαμεν τού-
τους φιλεῖν τε καὶ θεᾶσθαι, αὐτὸ δὲ τὸ καλὸν οὐδ' ἀνέ-
χεσθαι ὥς τι ὄν; Μεμνήμεθα. Μὴ οὖν τι πλημμελήσο-
μεν[x] φιλοδόξους καλοῦντες αὐτοὺς[y] μᾶλλον ἢ φιλοσόφους;

φάντες DKq.—[y] βαλεῖν αἰνίττονται καὶ οὐ βαλεῖν q.—[z] καὶ ταῦτα q.—[a] αὐτὸ r.—[b] οὔτ' r.—[c] οὐδέτερα q.—[d] ὅπη ΘΦιr, ὅπου DK.—[e] σκοτωδέστερα τοῦ μὴ q.—[f] πρὸς...φανήσεται om q.—[g] μὴ εἶναι...μᾶλλον om ΘΠΦDKr.—[h] φανότερα ὄντος ΑΞ m, τοῦ ὄντος φανότερα q: φανερώτερα ὄντος *s.—[i] μὴ ὄντος καὶ τοῦ ὄντος ΑΘΠΦD Kqimr: ὄντος καὶ τοῦ μὴ ὄντος s.—[k] τοῦτον Π, τούτων ΘΦDK pr.—[l] λέγεσθαι καὶ τῇ in D cum s.—[m] ὡμολογήσαμεν Ξs.—[n] δὴ Φr et pr Θ.—[o] καὶ r.—[p] δαὶ Am.—[q] αὐτοὺς Φ.—[r] ταὐτὰ ΘΞΦιmr: τὰ αὐτὰ *s.—[s] οὖν corr q, om Ξ.—[t] μὴ Φr, om Θm.—[u] δ' v.—[v] τινὰς m.—[w] τοιαῦτ' om.—[x] πλημμελήσομεν ΠΦqvr et corr A:

φανερωτέρα] Ald. Bas. 1. et 2. φανώτερα; idem exhibet Cod. Venet. et ὄντας pro ὄντος. Ast.

πλημμελήσωμεν] For. πλημμελήσομεν. et paulo post καὶ ἄρα, interrogative: vel κἂν ἄρα, et quaedam habent exempl. ut non sit interrogatio. Steph.

πλημμελήσομεν] Sic recte Stephanus

καὶ[z] ἆρα ἡμῖν σφόδρα χαλεπανοῦσιν, ἂν οὕτω λέγωμεν; Οὔκ, ἄν γ' ἐμοὶ[a] πείθωνται, ἔφη· τῷ γὰρ ἀληθεῖ χαλεπαίνειν οὐ θέμις. Τοὺς αὐτὸ ἄρα ἕκαστον τὸ ὂν ἀσπαζομένους φιλοσόφους ἀλλ' οὐ φιλοδόξους κλητέον; Παντάπασι μὲν οὖν.

πλημμελήσωμεν *ς.—[y] αὐτοὺς καλοῦντες Θr.—[z] κἂν Ξ.—[a] γ' ἐμοὶ Ξm : γέ μοι *ς.

scribi jussit pro πλημμελήσωμεν. Libri editi interrogationis signum ante καὶ ἄρα ponunt, quo oratio turbatur; καὶ ἄρα (forte, etwa) cum interrogativo μή οὖν τι connectenda sunt. Bas. 2. legit κἂν ἄρα. Ast.

FINIS VOL. VI.